Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: wus-am

*Σοῦδα* · Suda

# Lexicon, Letter N

*Σοῦδα, Στοιχεῖον Ν*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

ν 1 Νaασών: ὄνομα κύριον. οὗτος ἔκτος ἀπὸ τοῦ Ἰούδα ὢν θυγατέρα τοῦ Ἀαρὼν γυναῖκα ἠγάγετο. χρὴ οὖν ἐπισημήνασθαι, ὅτι ἐνταῦθα συνήφθη ἡ βασιλικὴ φυλὴ τῇ ἱερατικῇ.

ν 2 Νάβα: παρὰ Ῥωμαίοις τὸ πορθμεῖον. φαίνεται δὲ ἐν πολλοῖς μὴ διεστῶσα τῆς Ἑλλάδος φωνῆς ἡ Ῥωμαϊκή· ναῦς γὰρ καὶ νάβα ἐγγύς.

ν 3 Ναβάται: γένος Ἀράβων. ὁ δὲ πέμπει πρὸς Ἄραβας, τοὺς λεγομένους Ναβάτας. καὶ Ναβαταῖοι, ἐθνικόν. Ναβάτος φασιν Ἀ〈ραβίας εὐδαίμ〉ονος γενόμενος. ἐκ τοιούτου τινος Ναβαταῖοι ἔθνος τῆς εὐδαίμονος Ἀραβ〈ίας〉 χώρα Ναβατηνή.

ν 4 Νάβλα: εἶδος ὀργάνου.

ν 5 Νάβις, Νάβιδος. Λακεδαιμονίων τύραννος.

ν 6 Ναβουθαί· οὗτος ἦν ἐπὶ Ἀχαάβ, ἐξ Ἰζάρου πόλεως, ἀγρογείτων ὤν. τοῦ δὲ βασιλέως Ἀχαὰβ παρακαλοῦντος αὐτὸν ἀποδόσθαι τιμῆς ὅσης βούλεται τὸν πλησίον αὐτοῦ τῶν ἰδίων ἀγρόν, ἵνα συνάψας ἓν αὐτὸ ποιήσῃ κτῆμα· εἰ δὲ μὴ βούλοιτο χρήματα λαβεῖν, ἐπιτρέψαντος ἐκλέξασθαι τῶν ἀγρῶν τινα τῶν ἐκείνου, τοῦτο μὲν οὔ φησι ποιήσειν, αὐτὸς δὲ τὴν ἰδίαν καρπώσεσθαι γῆν, ἣν ἐκληρονόμησε τοῦ πατρός. λυπηθεὶς δὲ ὡς ἐφ’ ὕβρει τῷ μὴ τἀλλότρια λαβεῖν ὁ βασιλεὺς οὔτε λουτρὸν προσηνέγκατο οὔτε τροφήν. τῆς δὲ Ἰεζάβελ πυνθανομένης ὅ τι λυπεῖται, διηγήσατο αὐτῇ τὴν Ναβουθαὶ σκαιότητα, καὶ ὡς χρησάμενος ἐπιεικέσι πρὸς αὐτὸν λόγοις καὶ βασιλικῆς ἐξουσίας ὑποδεεστέροις ὑβρισθείη, μὴ τυχὼν ὧν ἠξίου. ἡ δὲ μὴ μικροψυχεῖν ἐπὶ τούτοις παρεκάλει, παυσάμενον δὲ τῆς λύπης ἐπὶ τὴν συνήθη τραπέσθαι πρόνοιαν· μελήσειν γὰρ αὐτῇ περὶ τῆς Ναβουθαὶ τιμωρίας. καὶ παραχρῆμα πέμπει γράμματα πρὸς τοὺς ὑπερέχοντας τῶν Ἰουδαίων ἐκ τοῦ Ἀχαὰβ ὀνόματος, νηστεῦσαι κελεύουσα καὶ ποιησαμένους ἐκκλησίαν προκαθίσαι μὲν αὐτῶν Ναβουθαί· εἶναι γὰρ αὐτὸν ἐκ γένους ἐπιφανοῦς. παρασκευασαμένους δὲ τρεῖς τολμηροὺς καταμαρτυρήσοντας αὐτοῦ, ὡς τὸν θεὸν εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι· καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ. καὶ οὕτως ἀπέθανε, καὶ προῖκα ἐκληρονόμησεν Ἀχαὰβ τὸν ἀμπελῶνα. ἀγανακτήσας δὲ ὁ θεὸς πέμπει Ἡλίαν τὸν προφήτην πρὸς Ἀχαὰβ περὶ τῶν πεπραγμένων ἐρησόμενον, ὅτι κτείνας τὸν ἀληθῆ δεσπότην τοῦ χωρίου κληρονομήσειεν αὐτὸν ἀδίκως, κατ’ ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τὸν Ναβουθαὶ νεκρὸν συνέβη ὑπὸ κυνῶν δαπανηθῆναι, τό τε αὐτοῦ αἷμα καὶ τὸ τῆς γυναικὸς χυθήσεσθαι καὶ πᾶν αὐτοῦ τὸ γένος ἀπολεῖσθαι, τοιαῦτα ἠσεβηκότος. ὁ δὲ Ἀχαὰβ μετάμελος γενόμενος καὶ σακκίον ἐνδυσάμενος γυμνοῖς τοῖς ποσὶ διῆγε μὴ τρεφόμενος,

ἀνθομολογούμενος τὰ ἡμαρτημένα καὶ τὸν θεὸν ἐξευμενίζων. ὁ δὲ θεὸς πρὸς τὸν προφήτην εἶπεν ὑπερβαλέσθαι τὴν τοῦ γένους τιμωρίαν, ἐπεὶ τοῖς τετολμημένοις μετανοεῖ, τελέσειν δὲ τὴν ἀπειλὴν ἐπὶ τῷ υἱῷ τοῦ Ἀχαάβ.

ν 7 Ναβουχοδονόσορ, βασιλεὺς Βαβυλῶνος, ὁ κτίσας τὴν Βαβυλῶνα πόλιν μεγάλην καὶ κινστέρναν καὶ ἐπάνω αὐτῆς κῆπον (τὸν κληθέντα κρεμαστόν) τεχνησάμενος καὶ καταφυτεύσας ἐν αὐτῷ παντοδαπὰ γένη φυτῶν. εἰς τοῦτον ἡ γυνὴ αὐτοῦ περιπολοῦσα καὶ πᾶσαν γῆν ἐκείνην ἐποπτεύουσα κατετέρπετο, ὑπ’ οὐδενὸς ὁρωμένη. ὁ δὲ Ναβουχοδονόσορ διαπορευόμενος ἔφη μετὰ ἐπάρσεως πολλῆς καὶ ἀλαζονείας· οὐχ αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου εἰς τιμὴν τῆς δόξης μου ᾠκοδόμησα; καὶ ἔτι τοῦ λόγου ἐν τῷ στόματι αὐτοῦ ὄντος, φωνὴ ἐκ τοῦ οὐρανοῦ ἐγένετο· σοι λέγω, Ναβουχοδονόσορ· ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξω σε, καὶ μετὰ θηρίων ἡ κατοίκησίς σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπί σε, ἕως οὗ γνῷς, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν. καὶ αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη καὶ χόρτον ὡς βοῦς ἤσθιε καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λέοντος ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες ὡς ὀρνέου. μετὰ δὲ ταῦτα πάλιν φησὶν ὁ αὐτὸς περὶ τῆς αὑτοῦ ἀποκαταστάσεως· ἐν τῷ καιρῷ ἐκείνῳ αἱ φρένες μου ἐπεστράφησαν ἐπ’ ἐμὲ καὶ εἰς τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ’ ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι. καὶ Ἠσαΐας δὲ λέγει περὶ αὐτοῦ.

ν 8 Ναέται: οἱ οἰκήτορες.

ν 9 Ναζαρηνός: ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

ν 10 Ναζιραῖος: ὁ θεῷ κεχαρισμένος, καὶ ἀφιερωμένος· ὁ μοναχός. ἰστέον δέ, ὅτι ἐπὶ Κλαυδίου βασιλέως Ῥώμης Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζιραῖοι καὶ Γαλιλαῖοι Χριστιανοί.

ν 11 Νάζις: ἐθνικόν.

ν 12 Ναζωραῖος: ὁ ἀπὸ Ναζαρέτ.

ν 13 Νάει: στάζει, ῥέει.

ν 14 Ναΐδες: πηγαί· ἢ Νύμφαι παρὰ τοῖς νάμασι διατρίβουσαι.

ν 15 Νάϊνον.

ν 16 Ναΐς, ἑταίρα τις, ἧς μέμνηται Λυσίας καὶ Ἀριστοφάνης. ἐν τῷ Πλούτῳ, δηλαδὴ ὅπου τό, ἐρᾷ δὲ Ναΐς οὐ διὰ σὲ Φιλωνίδου; ὅ τινες ἠγνοηκότες ἔγραψαν Λαΐς· ὡς καὶ Ἀθήναιος ἐπισημαίνεται.

ν 17 Νάκην: προβάτων δοράν.

ν 18 Νάκλη: πόλις περὶ Ἡλιούπολιν· ἐν ᾗ τὰ καλούμενα Ἄφακα. ζήτει περὶ τούτου καὶ ἐν τῷ χ εἰς τὸ Χριστόδωρος.

ν 19 Νακώλεια: ὄνομα τόπου. ἰστέον δέ, ὅτι κοινῶς μὲν τεθήλυνται ἡ Φρυγιακὴ αὕτη πόλις ἀπὸ Νακώλης νύμφης· ἐξ ἧς καὶ Νακώλαιον, ἡ αὐτή· ὡς ἀπὸ νύμφης νύμφαιον. ἐθνικὸν αὐτῆς Νακωλεύς, ὡς Σελευκεύς. εὕρηται δὲ καὶ οὐδετέρως τὰ Νακώλεια.

ν 20 Νακώνη: πόλις Σικελίας, κατὰ τὸν Ἐθνικογράφον.

ν 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νάκος: ἔντριχον δέρμα, ἤτοι δορὰ προβάτου. κυρίως δὲ τὸ τῆς αἰγὸς δέρμα. καὶ κῴδιον καὶ κῶος. κῶας δὲ τὸ τοῦ προβάτου. Ἰώσηπος· ἕρπειν τὰ πολλὰ κελεύσας τοῖς εἰσιοῦσι καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν. ἡ δοτικὴ νάκει. ἡ ἀναλογία, ὡς βλάβη, βλάβος· δίψα, δίψος· νάπη, νάπος· οὕτω νάκη, νάκος. ὥσπερ δέ, φασίν, ἡ ἀήτη, καὶ ἀρσενικὸν ἀήτης, ἀήτου· καὶ ἡ ἀράχνη, ἀράχνης, ἀράχνου, οὕτω καὶ ἡ νάκη, ὁ νάκος, τοῦ νάκου. τριχῶς οὖν ὁ νάκος, ἡ νάκη, τὸ νάκος.

ν 22 Νακοτίλται: οἱ τῶν προβάτων κουρεῖς.

ν 23 Νᾶμα: ὕδωρ ποτόν. τόπος κατάρρυτος ναματιαίοις ὕδασι.

ν 24 Νάννακος: παλαιὸς ἀνὴρ πρὸ Δευκαλίωνος. τοῦτόν φασι βασιλέα γενέσθαι πρὸ τοῦ Δευκαλίωνος· ὃς προειδὼς τὸν μέλλοντα κατακλυσμόν, συναγαγὼν πάντας εἰς τὸ ἱερὸν μετὰ δακρύων ἱκέτευε. καὶ παροιμία· ἀπὸ Ναννάκου, ἐπὶ τῶν πάνυ ἀρχαίων.

ν 25 Νάννιον· Ἀπολλόδωρος ἐν τῷ Περὶ τῶν ἑταιρῶν Αἶγα λέγεσθαι φησὶ ταύτην τὴν ἑταίραν διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· χαίρουσι γὰρ αἱ αἶγες τῷ θαλλῷ. ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ Περὶ τῶν ἑταιρῶν τὴν Νάννιον φησὶ Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφωτέραν εἶναι.

ν 26 Νάνος: ἐπὶ τῶν μικρῶν, παρὰ Νεοκλείδῃ καὶ Ἀριστοτέλει. καὶ ὁ Θεόφραστος· ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα. οἱ γοῦν νάνοι μέγα αἰδοῖον ἔχουσι. Νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων. καὶ ναννοφυεῖς. οἱ δὲ κολοβοὶ τῶν ἵππων ἰννοί. οἱ πλείους τῶν ὕστερον γίννους τούτους γράφουσι. δοκεῖ παρὰ τὸ ἐστερῆσθαι τοῦ ἄνω εἰρῆσθαι ἡ λέξις· κατακύπτει γὰρ τὰ κυρίως νάνα, καθὰ καὶ τὰ βρέφη, ὧν καὶ μείζω τὰ ἄνω.

ν 27 Ναξία: πόλις. καὶ Ναξία λίθος, ἡ Κρητικὴ ἀκόνη· Νάξος γὰρ πόλις Κρήτης. ὁ γράψας ὅτι Ναξία πόλις Καρίας, ἧς ὁ πολίτης Ναξιεὺς καὶ Ναξιάτης· λέγει καὶ ὅτι πόλις Σικελίας Νάξος. καὶ Κρητικὴ δέ, ἀφ’ ἧς ἡ Ναξία λίθος· ἣν εἰ διὰ τοῦ ι γράφεται, κριτικὴ εἰλῆφθαι λέγει, ἀντὶ τοῦ διακρίνουσα καὶ φανεροῦσα. καὶ Κυκλὰς δὲ νῆσος ἐπίσημος ἡ Νάξος. ἢ ἀπό τινος Νάξου, ἢ παρὰ τὸ νάξαι, ὅ ἐστι θῦσαι. φασὶ δὲ τὰς ἐκεῖ Ναξίας γυναῖκας μόνας ὀκτάμηνα τίκτειν κατὰ δωρεὰν Ἥρας. καὶ Διόνυσος δέ, φασίν, οὕτως ἐτέχθη. καὶ κρήνη δὲ καθ’ Ἡρακλείδην ἐκεῖ, ἐξ ἧς οἶνος ῥεῖ μάλα ἡδύς.

ν 28 Ναξιουργὴς κάνθαρος: πλοῖα ἦν οὕτω λεγόμενα κάνθαροι, ἐν Νάξῳ γινόμενα· ὡς νῦν σίλφας λέγουσί τινα ἀκατίων εἴδη. Κρατῖνος δὲ λέγει, ὅτι θαλασσοκρατοῦντές ποτε Νάξιοι ἐχρῶντο αὐτοῖς τοῖς κανθάροις. ἢ οὕτως· τῶν πλοίων τὰς εὑρούσας πόλεις τὰς ἀρχιτεκτονίας ἐποίουν οἱ πρότεροι ἐπωνύμους· οἷον τοὺς νῦν λέμβους Ναξιουργεῖς ὠνόμαζον. ἐκ τοῦ αὐτοῦ δὲ εἶναι καὶ Κνιδιουργεῖς ἀπὸ Κνίδου, καὶ Κέρκυρα ἀπὸ Κερκύρας, καὶ Πάρωνα ἀπὸ Πάρου. ἄντικρυς δὲ Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρος εἶπε πλοῖον εἶναι. ἔστι δὲ καὶ εἶδος ποτηρίου. καὶ ἐν Πειραιεῖ Κανθάρου λιμήν. τρεῖς γὰρ λιμένες εἰσίν, οὗτος ὁ Κανθάρου καὶ τὸ Ἀφροδίσιον καὶ κύκλῳ πέντε στοαί. ἀπὸ Κανθάρου ἥρωος.

ν 29 Ναός.

ν 30 Ναπάται: πόλις Λιβύης πρὸς τῇ Αἰθιοπίᾳ. ὁ πολίτης Ναπαταῖος.

ν 31 Νάπη: πόλις Λέσβου. ὅθεν Ἀπόλλων Ναπαῖος. εἰσὶ δὲ καὶ Ναπαῖοι Ἠπειρῶται.

ν 32 Νάπις: πόλις Σκυθίας.

ν 33 Νάπος οὐδέτερον καὶ θηλυκὸν ἡ Νάπη: ὀρεινὸς ὑλώδης τόπος. οἱονεὶ νάφη ὡς μὴ φῶς ἔχουσα διὰ δάσος. Ξενοφῶν οὐδετέρως λέγει τὸ νάπος, τὸ ἔδαφος. ἐπεὶ οἱ ἡγούμενοι ἐγένοντο ἐπὶ νάπει δυσβάτῳ καὶ μεγάλῳ, ἔστησαν ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος.

ν 34

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νάπυ: σίνηπι. κἄβλεψε νάπυ καὶ τὰ μέτωπ’ ἀνέσπασεν. ἐπέβλεψε δριμὺ καὶ ὀργίλον (δριμὺ γὰρ τὸ νάπυ), καὶ τὰς ὀφρῦς συνέστειλεν. τὸ ὡς εἰπεῖν ἀφυὲς ἤτοι κακοφυές.

ν 35 Ναρβὼν ἢ Ναρβωνησία: ἐμπόριον καὶ πόλις Κελτική. ἔστι δὲ καὶ λίμνη Ναρβωνῖτις. καὶ Νάρβις, πόλις Ἰλλυριῶν.

ν 36 Νάρδος: μυρεψικὸν ἔλαιον. θηλυκῶς. καὶ ἐς κυανότριχα χαίτην νάρδον, ὑπὸ γλαυκῆς κλειομένην ὑάλου.

ν 37 Νάρθηξ. καὶ πανακείταν νάρθηκα κροτάφων πλάκτορα νηπιάχων. ζήτει ἐνταῦθα, ὅτι ὁ νάρθηξ ᾠκείωται τῷ μεθύσῳ καὶ οὕτως ἐλαφρῷ Διονύσῳ. καὶ τό, πολλοὶ ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι. καὶ ὅτι Νάρθηξ νησίδιον ἐγγύς φασι Σάμου ἐν δεξιᾷ τοῖς προσπλέουσιν· οὗ ἐθνικὸν Ναρθηκουσσαῖος ἢ Ναρθηκούσιος.

ν 38 Νάρκη: μυρμηκίασις. Ἀριστοφάνης· οἴμοι, τί πέπονθα; ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται, καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν. συντελεῖ ἐνταῦθα καὶ ἡ ἐνθύμησις τοῦ ἰχθυδίου τῆς νάρκης, καὶ τὸ κατ’ αὐτὴν πάθος.

ν 39 Ναρμαλίς: πόλις Πισιδίας, ὡς Κάβαλις.

ν 40 Νάρυξ: πόλις. ἱστορεῖται θηλυκῶς λεγομένη· ἡ καὶ Ναρύκιον καὶ Ναρύκη· ἐξ ἧς ἦν ὁ Λοκρὸς Αἴας.

ν 41 Νάρωνος: ὄνομα κύριον.

ν 42 Ναρσῆς, στρατηγὸς Ῥωμαίων, ἔμφρων ἐς τὰ μάλιστα καὶ δραστήριος καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι. καὶ παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν, οὐδὲ τὰ τῆς εὐγλωττίας ἐπεφρόντιστο· φύσεως δὲ ὄγε δεξιότητι διέπρεπε καὶ παραστῆσαι οἷός τε ἦν λόγῳ τὰ βεβουλευμένα, καὶ ταῦτα τομίας γε ὢν καὶ ἐν τοῖς βασιλείοις τρυφερώτατα ἀνατεθραμμένος. ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς καὶ ἐν ἰσχνότητι ἐκδεδιῃτημένος· τὸ δὲ ἀνδρεῖον καὶ μεγαλουργὸν ἐς τοσοῦτον ἐκέκτητο ὅσον ἀμέλει καὶ ἀπιστεῖσθαι. ἦν δὲ ἐπὶ Ἰουστινιανοῦ.

ν 43 Νασαμῶνος: ὄνομα κύριον. ὄνομα κύριον ὁ Νασαμῶν, ἐξ οὗ Νασαμῶνες, ἔθνος Λιβύης.

ν 44 Ναστόν: πυκνόν, μεστόν, πλῆρες, μὴ ἔχον ὑπόκουφόν τι. διαφέρει τοῦ μανοῦ. τὸ γὰρ μανόν, ἀραιόν, χαῦνον, ἢ ἀνωφερές, ὡς φλόξ. ὅτι γίνεται παρὰ τὸ μὴ ἓν εἶναι. Ναστὸς δὲ ἀρσενικῶς πλακοῦς, ἢ θερμὸς ἄρτος μετ’ ἐλαίου. Ἀριστοφάνης Πλούτῳ· ἧκε γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος. καὶ τοιοῦτον μὲν ὁ ἐν ὀξείᾳ τάσει ναστός· οὗ θέμα τὸ ἐν Ὀδυσσείᾳ νάσασθαι. Νάστος μέντοι βαρυτόνως πόλις Θρᾴκης, ἣ ἐλέγετο καὶ Νέστος.

ν 45 Ναυάγιον: παρὰ Θουκυδίδῃ οὐδετέρως μέν, ὅταν τι τῆς νηὸς ἀπολεσθῇ, οἷον πηδάλιον ἤ τι τοιοῦτον. ναυαγία δὲ θηλυκῶς πᾶσα ἡ τῆς νηὸς ἀπώλεια.

ν 46 Ναυαγίων: πτωμάτων. ἐξ ἑνὸς κακοῦ, πᾶν ἐπίμπλατο ναυαγίων πεδίον.

ν 47 Ναύαρχος: ὁ τῶν νηῶν ἄρχων.

ν 48 Ναυαγῶ· αἰτιατικῇ.

ν 49 Ναυαρχῶ· δοτικῇ.

ν 50 Ναυάτος· οὗτος πρεσβύτερος ὢν τῆς ἐν Ῥώμῃ ἐκκλησίας διεκρίθη, ἐπειδὴ Κορνήλιος ὁ ἐπίσκοπος τοὺς ἐπιθύσαντας πιστοὺς ἐν τῷ διωγμῷ, ὃν ὁ βασιλεὺς Δέκιος κατὰ τῆς ἐκκλησίας ἐκίνησεν, εἰς κοινωνίαν ἐδέξατο. διὰ ταύτην οὖν τὴν αἰτίαν διακριθεὶς καὶ εἰς ἐπισκοπὴν παρὰ τῶν συμφρονησάντων αὐτῷ ἐπισκόπων προχειρισθεὶς ταῖς πανταχοῦ ἐκκλησίαις ἔγραφε, μὴ δέχεσθαι τοὺς ἐπιτεθυκότας εἰς τὰ μυστήρια, ἀλλὰ προτρέπειν μὲν αὐτοὺς εἰς μετάνοιαν, τὴν δὲ συγχώρησιν ἐπιτρέπειν θεῷ, τῷ δυναμένῳ καὶ ἐξουσίαν ἔχοντι συγχωρεῖν ἁμαρτήματα. τοιαύτας ἐπιστολὰς κατ’ ἐπαρχίας δεχόμενοι πρὸς τὰ οἰκεῖα ἤθη ἐποιοῦντο τῶν δηλουμένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰς κρίσεις. ὡς γὰρ ἐκεῖνος ἐδήλου μὴ δεῖν ἀξιοῦσθαι τῶν μυστηρίων τοὺς μετὰ τὸ βάπτισμα εἰς θάνατον ἁμαρτίαν πεποιηκότας, τοῖς μὲν ἐδόκει πικρὰ καὶ ἀπηνὴς εἶναι ἡ τοῦ κανόνος ἔκθεσις, οἱ δὲ ὡς δίκαιον αὐτὸν καὶ ὀρθοῦντα τὴν πολιτείαν ἐδέχοντο. ἐν τοσούτῳ δὲ τούτου κινουμένου, ἐπικαταλαμβάνει Κορνηλίου τοῦ ἐπισκόπου γράμματα, τοῖς μετὰ τὸ βάπτισμα ἡμαρτηκόσιν ἐπαγγελλόμενα τὴν συγχώρησιν. οὕτω δὲ ἀμφοτέρων ἐπιστελλόντων τἀναντία καὶ ἐκ τῶν θείων ὀχυρούντων ἃ ἑκάτερος ἔλεγεν, ἕκαστος κατ᾽ ἔθος ἐς τοῦτο ἔτρεψεν, ἐς ὃ καὶ πρότερον μᾶλλον ἐπέκλινεν. ὅσοι γὰρ φιλαμαρτήμονες δραξάμενοι τῆς τότε δοθείσης συγχωρήσεως καὶ εἰς τὸν ἔπειτα χρόνον ἐπὶ πάσης ἁμαρτίας αὐτῇ συνεχρήσαντο. ἀλλὰ Ναυάτος ἐπὶ Οὐάλεντος τοῦ βασιλέως διωγμὸν κινήσαντος κατὰ Χριστιανῶν ἐμαρτύρησεν.

ν 51 Ναυατιανοί: αἱρεσῖται, τὰ Ναυάτου φρονοῦντες. καὶ τούτων ἐγένετο ἐπίσκοπος Σισίννιος, ἐλλόγιμος καὶ ἱερῶν βίβλων ἐπιστήμων καὶ κρείττων διαβολῆς, περὶ δὲ τὴν δίαιταν ἁβρὸς καὶ ποικίλος. ἐρωτώμενος δὲ διὰ τί δεύτερον λούοιτο, ὅτι μὴ τρίτον, ἔφη, φθάνω. ἐπεὶ δὲ λευκῇ ἐσθῆτι διετέλει χρώμενος, ἐπέσκωψέ τις αὐτῷ τῶν ἀπὸ τῆς καθόλου ἐκκλησίας, ὁ δὲ πρὸς αὐτόν· οὐκοῦν εἰπέ, ποῦ εἴρηται ἐσθῆτα μέλαιναν χρῆναι ἀμφιέννυσθαι; τοῦ δὲ ἀπορήσαντος, ὑπολαβὼν ἔφη· σὺ μὲν οὐκ ἂν τοῦτο ἐπιδεῖξαι δυνήσῃ· ἐμοὶ δὲ καὶ Σολομῶν ὁ σοφώτατος, ἔστωσαν τὰ ἱμάτιά σου λευκά, λέγων παραινεῖ. καὶ αὐτὸς ὁ Χριστὸς λευχείμων ἐν τοῖς εὐαγγελίοις φαινόμενος Μωσῆν τε καὶ Ἡλίαν τοιούτους τοῖς ἀποστόλοις δείκνυσιν. οὐ μὴν ἀλλὰ καὶ ἄλλα πολλὰ χαρίεντα αὐτῷ εἴρηται.

ν 52 Ναυβάτης: ἐπιβάτης, ἢ ναύτης. πεζοὺς δὲ ἀντὶ ναυβατῶν πορευομένους, καὶ ὁπλιτικῷ προσχόντας μᾶλλον ἢ ναυτικῷ.

ν 53 Ναυῆ: ὄνομα κύριον.

ν 54 Ναυηγός: ὁ τῆς νηὸς ἀρχηγός. τοῦτο κοινῶς· ἡ δὲ ποίησις καὶ τὸν ναυαγήσαντα οὕτω γράφει.

ν 55 Ναύκιοι: ἔθνος.

ν 56 Ναύκληρος: Ὑπερίδης οὐ μόνον ὡς ἡ συνήθεια κέχρηται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας.

ν 57 Ναυκραρία· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. μήποτε δὲ βέλτιον φέρεται ἐν τοῖς Ἀττικιανοῖς Ναυκρατιτικά, ἵνα ᾖ ἀπὸ Ναυκρατιτικοῦ πλοίου, ἢ Ναυκρατιτῶν ἐμπλεόντων. ἡ γὰρ Ναύκρατις τοπαλαιὸν ἐμπόριον ἦν τῆς Αἰγύπτου. ἐὰν δὲ ᾖ Ναυκραρικά, εἴη ἂν τὰ τῶν ἀρχόντων. ναυκράρους γὰρ τοπαλαιὸν τοὺς ἄρχοντας ἔλεγον, ὡς καὶ Ἡρόδοτος ἐν ε′ ἱστοριῶν δηλοῖ. ἴσως παρὰ τὴν τῆς νηὸς κραῖραν εἴρηται τὸ ναυκραρικά.

ν 58 Ναύκρατις. καὶ τὸν Ναύκρατιν. πόλις αὕτη Αἰγύπτου ὑπὸ Μιλησίων οἰκισθεῖσα, ὁπηνίκα ἐθαλαττοκράτουν. ταύτης πολίτης ὁ σοφὸς Ἀθήναιος.

ν 59 Ναῦλος: τὸ ναῦλον. ἀρσενικῶς ὁ ναῦλος. καὶ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται. καὶ Ἀριστοφάνης· ἀπόδος τὸν ναῦλον.

ν 60 Ναύλοχον: εὔδιον, ἐν ᾧ αἱ ναῦς λοχῶσιν, ἢ ἀναπαύονται. ὁ δὲ ναῦς προσέταξεν ἐν τοῖς ἀγκῶσι ναυλοχεῖν λανθάνοντας· ἐπειδὰν δὲ αἴσθωνται ζευγνύειν αὐτὸν τὴν γέφυραν, διαβάλλειν ὡς τάχιστα. παρὰ δὲ Ἡροδότῳ λιμὴν ἢ εὐδία. οὕτω καὶ παρ᾽ Ὁμήρῳ.

ν 61 Ναυλοχῶ: τὸ τὰς ναῦς ἐνεδρεύω. ἢ ἀναπαύω καθιστῶν.

ν 62 Ναύμαχα: μακρὰ δόρατα, ὥστε ἀπὸ τῶν νεῶν μάχεσθαι. οὕτω καὶ Ὅμηρος προπαροξυτόνως. ὁ μέντοι ναυμάχος ἀνὴρ πρὸ μιᾶς τονοῦται.

ν 63 Ναυμαχησείοντες: πρὸς ναυμαχίαν ἑτοίμως ἔχοντες. ἢ ἐρῶντες τοῦ ναυμαχῆσαι, ἐπιθυμίαν ἔχοντες ναυμαχίας.

ν 64

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ναυμάχιον: ὡς τοῦ μὴ στρατεύεσθαι καὶ τοῦ λιπεῖν τὴν τάξιν καὶ τοῦ τὰ ὅπλα ἀποβαλεῖν ζημίαι ἦσαν ὡρισμέναι ἐκ τῶν νόμων, οὕτως καὶ τοῦ μὴ ναυμαχῆσαι. τοῦτο τὸ ὄφλημα ναυμάχιον ἐκαλεῖτο.

ν 65 Ναυμαχῶ· δοτικῇ. Κερκυραίοις τε καὶ Πελοπίδαις ἅμα ναυμαχήσετε. αἰτιατικῇ δέ· πρῶτον μὲν τὸν βασιλικὸν κατεναυμάχησε στόλον.

ν 66 Ναύπακτος: πόλις Αἰτωλική. ἀπὸ τῆς ἐκεῖ ναυπηγίας τῶν Ἡρακλειδῶν πρὶν ἢ κατασχεῖν τὴν Πελοπόννησον. ὁ πολίτης, φασί, Ναυπάκτιος.

ν 67 Ναυπλία: πόλις Ἄργους. παρὰ τὸ ναυσὶ προσπλεῖσθαι. οἱ πολίται Ναυπλιεῖς.

ν 68 Ναύπλιος: ἡ ἐν θαλάσσῃ πρόοδος.

ν 69 Ναῦς· Ἀρριανός· Τραιανὸς ὁ βασιλεὺς περῶν τὸν ποταμὸν ν′ ναῦς εἶχε· δ′ δὲ ἔφερον τὰ σημεῖα τὰ βασιλικά, αἵτινες καὶ τὴν στρατηγίδα κάλοις μακροῖς ἐξηρτημένην ἐφεῖλκον. εἶχε δὲ ἡ ναῦς μῆκος μὲν κατὰ τριήρη μάλιστα, εὖρος δὲ καὶ βάθος καθ’ ὁλκάδα, ὅσον μεγίστη Νικομηδὶς ἢ Αἰγυπτία· ἐν ᾗ ἐπεποίητο βασιλεῖ ἀποχρῶντα ἐνδιαιτήματα. αὕτη δὲ τά τε ἀκροστόλια ἔφαινε καὶ ἐπ’ ἄκρῳ τῷ ἱστίῳ τὸ βασιλικὸν ὄνομα καὶ ὅσοις ἄλλοις βασιλεὺς γεραίρεται χρυσῷ ἐγκεχαραγμένα. νενέμητο δὲ τρίχα τὸ πᾶν ναυτικόν, ὡς μὴ τῷ ξυνεχεῖ πλόῳ ταράττοιντο.

ν 70 Ναυσικάα: ὄνομα κύριον. μέμνηται Ὅμηρος Ναυσικάας Φαιακικῆς βασιλικῆς παιδὸς προσφυῶς τῇ χώρᾳ· ἐπεὶ ναυτικώτατοι ὄντες ἐπέκαιον ταῖς ναυσὶ πίσσαν πρὸς ἀσφάλειαν.

ν 71 Ναυσικράτης, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Ναύκληροι, Περσίς. Ναυκράτην μέντοι εἰπεῖν ἐφίλησέ τις ἐπὶ ἐχενηΐδος φάναι· ὡς ταυτὸν ὂν ἔχειν, ἤγουν ἐπέχειν νῆα, ὅθεν ἡ ἐχενηΐς, καὶ ναῦν κρατεῖν, ὅθεν ὁ ναυκράτης.

ν 72 Ναῦς ἱκετεύει πέτρας: ἐπὶ τῶν πάνυ ἀναισθήτων ἡ παροιμία.

ν 73 Ναυσίπορος: ὑπὸ νηῶν περαιούμενος.

ν 74 Ναῦς Νικομηδὶς καὶ στρατηγίς. τούτου τὸ μὲν ἐκ τόπου παρῆκται, τὸ δὲ κατ’ ἀξίωμα.

ν 75 Ναῦς παλαιὰ πόντον οὐχὶ πλώσει: παροιμία ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

ν 76 Ναυσθλώσομαι: ναυσθλώσασθαι κυρίως ἐστὶ τὸ ναῦν μισθώσασθαι, νῦν δὲ τὸ νεὼς ἐπιβήσομαι.

ν 77 Ναύσων Ναυκράτη: ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων, ὡς τό, ἀγαθῶν ἀγαθίδες καὶ λευκότεροι Λεύκωνος. ἐπιστολιμαῖος ὁ χαρακτήρ· ὡς καὶ εἴ τις εἴποι Πομπαῖος Πομπίλῳ· ἢ Πομπαῖος Πομπῖλον προσφωνεῖ. καὶ ἔστι τὸ σχῆμα παρηχητικόν.

ν 78 Ναύσταθμον: τὸν λιμένα. ἐφράττοντο δὲ καὶ δέρματι οἱ τόποι πρὸς τὸ μὴ βλάπτεσθαι τὰ σανιδώματα. ἢ ὅτι ὁ ναυτικὸς στρατὸς ναύσταθμος καλεῖται.

ν 79 Ναυστολίαν: πλοῦν. καὶ Ναυστολῶ, ῥῆμα.

ν 80 Ναύτης: καὶ ὁ ἐπιβάτης. εἰκόνα τῆς κήλης Διονύσιος ὧδ’ ἀνέθηκε σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος.

ν 81 Ναυτιᾶν: τὸ ἐν τῇ νηῒ κυρίως ἐμεῖν. τοῦτο καὶ ναυσιᾶν λέγεται ῥητορικῶς.

ν 82 Ναυτικῶς δανείζειν· φασὶ Ζήνωνα ὑπὲρ ͵α′ τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦτα δανείζειν ναυτικῶς.

ν 83 Ναυτιλία: ὁ πλοῦς.

ν 84 Ναυτιλλόμενος: πλέων.

ν 85 Ναυτίλος: ὁ ἰχθύς, καὶ ὁ ναύτης.

ν 86 Ναυτοδίκαι: ἄρχοντες ἐπὶ τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργαζομένοις· ὡς καὶ ναυφύλακες ἄρχοντές τινες ἐπὶ τῆς τῶν νεῶν φυλακῆς. ἀρχή τις ἦν Ἀθήνησιν οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναυτοδίκαι. Κρατερὸς γοῦν φησίν· ἐὰν δέ τις ἐξ ἀμφοῖν γενοῖν γεγονὼς φρατίζῃ, διώκειν δεῖ τῷ βουλομένῳ Ἀθηναίῳ, οἷς δίκαι εἰσί· λαγχάνειν δὲ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. εἰς φρήτρην ἢ φράτορας ἢ φατρίαν ἐγγράφηται καὶ μὴ ξένος εἴη ἀλλ' ἠθαγενὴς δηλαδὴ ὡς αὐτόχθων ἔκ τε πατρὸς ἔκ τε μητρός.

ν 87 Ναῦφι: ἐν ταῖς ναυσί.

ν 88 Ναύφρακτον βλέπεις· Ἀριστοφάνης· πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύλην. ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ὥστε τὸ ναύφρακτον βλέπεις, αἴνιγμά ἐστι τοῦ τρανὲς καὶ πλατὺ καὶ μέγα βλέπεις.

ν 89 Ναυφράκτῳ στρατῷ: τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ· ἐθαλασσοκράτουν γὰρ οἱ Ἀθηναῖοι μάλιστα ἐπὶ τῇ ἐν Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχίᾳ.

ν 90 Νάφθα: τριγενὲς τοῦτο· κοινῶς μὲν γὰρ ἡ νάφθα, εὕρηται δὲ καὶ οὐδετέρως τὸ νάφθα, παρὰ Πλουτάρχῳ δὲ καὶ ὁ νάφθος. ὅτι οἱ μὲν Ἕλληνες Μηδείας ἔλαιον ταύτην καλοῦσιν, οἱ δὲ Μῆδοι νάφθαν.

ν 91 Ναχώρ: ὄνομα κύριον.

ν 92 Ναί: συγκαταθέσεως ἐπίρρημα. ἔστι καὶ ὁρκωμοτικὸν μετὰ κοιμωμένης ὀξείας, οἷον ναὶ τὼ θεώ, τουτέστι μὰ τὰς θεάς.

ν 93 Ναίεθος: ὄνομα ποταμοῦ. εἰς 〈....〉 Ναύαιθος, οὗ μέμνηται Λυκόφρων κληθέντα παρὰ τὸ ναῦς ἐκεῖ εἰς αὐτὸν καυθῆναι ὑπὸ γυναικῶν αἰχμαλώτων χόλῳ τῶν αὐτῶν δεσποτῶν.

ν 94 Ναιετάουσιν: οἰκοῦνται. ναίω, ναιέτης, ναιετῶ· ὡς κυνηγέτης, κυνηγετῶ. ναιετῶ, ναιετάω· ναιετάουσιν ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ οἰκοῦνται.

ν 95 Ναίει: διατρίβει.

ν 96 Ναὶ μὰ τόν· καὶ ναὶ μὰ τόν, εἴγε τοῦ Περσικοῦ τις ἐφάνη, τὸ Ῥωμαϊκὸν ἅπαν διόλωλεν.

ν 97 Ναὶ μὰ τόν· ἁμαρτάνοντι ἐπέπληττε καὶ ἀδικοῦντα ἤλεγχε καὶ ἀνέστειλε τοῦ ἀδικεῖν πατρικῇ, ναὶ μὰ τόν, ὁ γενναῖος τῇ παρρησίᾳ.

ν 98 Ναὶ μὰ τόν· ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν, ὅ ἐστι δέρμα. Καλλίμαχος ἐν Ἑκάλῃ. ναὶ τοῦτο δένδρεον αὖον ἐόν περ. οἱ ἀρχαῖοι οὐ προπετῶς κατὰ τῶν θεῶν ὤμνυον, ἀλλὰ κατὰ τῶν προστυγχανόντων· ὡς καὶ Μένανδρος· μαρτύρομαι τὸν Ἀπόλλω τοῦτον καὶ τὰς θύρας. καὶ Ὅμηρος· ναὶ μὰ τόδε σκῆπτρον. καὶ Ἑκάλη εἶπε, ναὶ μὰ τόν· καὶ οὐκέτι ἐπάγει τὸν θεόν. ῥυθμίζει δὲ ὁ λόγος πρὸς εὐσέβειαν. τοιούτου σχήματός τε καὶ ἤθους καὶ τὸ ναὶ μὰ τάς. ὡς εἴπερ εἴποι τις, μὰ τὰς Χάριτας.

ν 99 Ναὶ μήν: ναὶ ὄντως.

ν 100 Ναὶ ναὶ μὰ μήκωνος χλόην: ὅρκος ἐπὶ χλευασμῷ.

ν 101 Ναίουσιν: οἰκοῦσιν.

ν 102 Ναίχι: ἐπίρρημα συγκαταθέσεως.

ν 103 Νέαι: νῆσος πλησίον Λήμνου (παρὰ τὸ νέω, τὸ κολυμβῶ), ᾗ προσενήξατο, φασίν, Ἡρακλῆς. περὶ ἣν κατά τινας Φιλοκτήτης ἐδήχθη ὑπὸ ὕδρου. Νέα δὲ φρούριον Μυσίας. ἐθνικὸν Νεαῖος.

ν 104 Νεαλής: κυρίως ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς. λέγεται δὲ καὶ ὁ νεωστὶ ἁλισθείς. καὶ ὁ νεωστὶ ἁλούς. Ἀππιανός· τὸν δὲ δῆμον ἀπὸ τοῦ τείχους ὁρᾶν καὶ τοῖς πονουμένοις ἑτέρους νεαλεῖς ἐπιπέμπειν ἀεί· οἱ δὲ Κελτοὶ κεκμηκότες ἀκμῆσι συμπλεκόμενοι ἔφευγον ἀτάκτως. καὶ Πολύβιος· τοὺς πολεμίους ἀκεραίους ὄντας καὶ νεαλεῖς.

ν 105 Νεάνδρεια, ἢ Νεάνδρειον οὐδετέρως. πόλις Τρῳάδος Ἑλλησποντία, ἥν τινες Λεάνδρειαν γράφουσι διὰ τοῦ λ, κακῶς.

ν 106 Νεανεία: ἡ ἔπαρσις.

ν 107 Νεανίας: τολμηρός. ἢ ὁ νέος.

ν 108 Νεανιεύεται: νέου ἔργα ποιεῖ.

ν 109 Νεανιεύματα: κομπάσματα, κενὰ τολμήματα.

ν 110 Νεανικόν: ἀντὶ τοῦ μέγα, καὶ δυνάμενον χορτάσαι νεανίαν. Ἀριστοφάνης Πλούτῳ· εἴ μοι πορίσας ἄρτον τιν’ εὖ πεπεμμένον δοίης καταφαγεῖν, καὶ κρέας νεανικόν.

ν 111 Νεανικῶς: ἰσχυρῶς, γενναίως. Ἀριστοφάνης· κἄτυπτε με νεανικῶς, παῖ παῖ καλῶν.

ν 112 Νεᾶνις, νεάνιδος. ἐκ τοῦ νέος, νεάν· ὡς ἄλκιμος, ἀλκιμὰν καὶ ἀλκμάν.

ν 113 Νεανισκεύεται· Ἄμφις ἐν Ῥείθροις, Ποσείδιππος Δημόταις, Εὔπολις Σφιγξίν. ἰδίως ἐσχημάτικε τὸ νεανισκεύειν ἐν Δήμοις· γυναῖκα ἔχοντα μάλα καλήν τε καὶ ἀγαθήν, αὐτὴ νεανισκεύοντος ἐπεθύμησέ μου.

ν 114 Νεάνθης, Κυζικηνός, ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ Μιλησίου.

ν 115 Νεάπολις: πόλις Ἰταλικὴ διάσημος, ἐν ᾗ Παρθενόπις ἵδρυται Σειρῆνος ἄγαλμα. πολλαὶ δὲ καὶ ἄλλαι Νεαπόλεις.

ν 116 Νεαροί: νέοι, νήπιοι. καὶ Νεαρώτερος. παίδων νεαρώτεροι οἱ λέγοντες μὴ ἐφορᾶν τὰ τῇδε τὸ θεῖον.

ν 117 Νέαρχος· οὗτος ξυνεστράτευσεν Ἀλεξάνδρῳ καὶ συγγραφὴν συνεγράψατο ὑπὲρ Ἀλεξάνδρου. ἐψεύσατο δὲ ναύαρχον ἑαυτὸν ἀναγράψας εἶναι, κυβερνήτης ὤν.

ν 118 Νεάτη: ἐσχάτη. καὶ Νέατοι, φθόγγοι χορδῆς μουσικῆς τελευταίας.

ν 119 Νεάτη: ἡ ἐσχάτη. καὶ ἡ νήτη χορδὴ λεγομένη ὑπὸ τῶν μουσικῶν, πρὸς ἀντιδιαστολὴν τῆς τε ὑπάτης καὶ τῆς μέσης.

ν 120 Νέα χελιδών: ἐπὶ τῶν ἐξαπατώντων τινας. Ἀριστοφάνης Ὄρνισιν· ἐξηπάτων γὰρ τοὺς μαγείρους, λέγων τοιαυτί· σκέψασθε παῖδες, οὐχ ὁρᾶτ’; ἆρα νέα χελιδών. οἱ δ’ ἔβλεπον κἀγὼ ’ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

ν 121 Νέβελ: ὄνομα κύριον. καὶ εἶδος μέτρου Ἑβραϊκοῦ.

ν 122 Νεβρείην καρδίην· Βάβριος· πεινῶσα κερδὼ καρδίην δὲ νεβρείην.

ν 123 Νεβρίζων· Δημοσθένης ὑπὲρ Κτησιφῶντος. οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνειμένου καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, ἐπὶ τὸ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον.

ν 124 Νεβρίς: ἐλάφου δέρμα. ἐν Ἐπιγράμμασι· ἄνθετό σοι κορύναν καὶ νεβρίδας ὑμέτερος Πάν.

ν 125 Νεβρίς. κισσωτὴν στέρνοις νεβρίδ’ ἀναπτομένη.

ν 126 Νεβρός: ἐλάφου γέννημα, οἱονεὶ ἐπὶ τὴν βορὰν ἐξιὸν καὶ νεμόμενον. ἐτυμολογεῖται δὲ νεοπόρος τις ὤν. καὶ Νεβρείη καρδία. Βάβριος· πεινῶσα κερδώ, καρδίην δὲ νεβρείην λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως.

ν 127 Νεβρώδ: ὄνομα κύριον. ἀφ’ οὗ οἱ γίγαντες.

ν 128 Νεβρώδης: ὄνομα κύριον.

ν 129 Νέγλη: πολίχνιον Ἀραβίας.

ν 130 Νέδη: πόλις Ἀρκαδίας, ἀπὸ νύμφης Νέδης. γράφεται καὶ Νεδέοι· ὅθεν ὁ πολίτης Νεδεήσιος.

ν 131 Νέδων: ποταμὸς καὶ τόπος Λακωνικῆς. κλίνεται Νέδοντος· ὅθεν Νεδουσία Ἀθηνᾶ. ζήτει καὶ τὸν παρὰ Λυκόφρονι.

ν 132 Νεεμάν: ὄνομα κύριον.

ν 133

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νέεσθαι: πορεύεσθαι.

ν 134 Νέηαι: πορευθῇς, ἐπανέλθῃς.

ν 135 Νέηκες: νεωστὶ ἠκονημένον.

ν 136 Νεήλατα: τὰ νεωστὶ ἀληλεσμένα ἄλφιτα καὶ μέλιτι δεδευμένα, οἷς καὶ ἀσταφίδες καὶ χλωροὶ ἐρέβινθοι συνεφύροντο· ἃ τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. ἐκάλουν δέ τινες αὐτὰ καὶ ἀμβροσίαν καὶ μακαρίαν. κατ' ἔλλειψιν δὲ προσφέρουσιν οἱ Ἀττικοὶ τὸ νεήλατα μὴ προστιθέντες τὸ ἄλφιτα.

ν 137 Νεήλυδες: νεωστὶ ἐληλυθότες. ἡ εὐθεῖα Νέηλυς.

ν 138 Νεηνίας: νεανίας.

ν 139 Νεῆνις: νεᾶνις.

ν 140 Νεκάδες: νεκροί. καταχρηστικῶς δὲ καὶ αἱ τῶν ζωῶν τάξεις.

ν 141 Νεκρῶ· αἰτιατικῇ.

ν 142 Νεκρῷ λέγουσα μύθους εἰς οὖς: ἐπὶ τῶν ἀναισθήτων καὶ μὴ ἐπαϊόντων. λύσις ὀνείρου· νεκροὺς ὁρῶν νέκρωσιν ἕξεις πραγμάτων.

ν 143 Νεκτάρεον: ἡδύ, καλόν, εὐῶδες. ἐπὶ τοῦ νεκταρέου ἑανοῦ. καὶ νέκταρ, θεῶν πόμα, καὶ οἶνος οὕτως, ὡς Ἀναξανδρίδης. καὶ τὸ βρῶμα τῶν θεῶν· ὁ αὐτός.

ν 144 Νεκταρέου: θείου. Νέκταρ δέ, τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς πίνοντας. ἢ οὗ στέρησις τῆς κτήσεως τοῖς πολλοῖς. οὕτω δὲ καὶ ἀμβροσία οὐ μόνον ἡ ὑπεραναβαίνουσα ῥοήν, τὴν καταφθοράν, ἀλλὰ καὶ ἣν οὐκ ἔχει βροτός.

ν 145 Νεκυόμαντις: ὁ ἐπερωτῶν τὸν νεκρόν.

ν 146 Νεκυία: ἡ τῶν νεκρῶν ἑορτή, φρουδίγα παρὰ Πέρσαις, Ἑλληνικὴ νεκυία. καὶ Νεκυοστόλος, ὁ τοὺς νεκροὺς διαπερῶν. τὸν κύνα Διογένην, νεκυοστόλε, δέξαι πορθμεῦ, γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

ν 147 Νέκυς: νεκρός.

ν 148 Νέμαυσος: πόλις Ἰταλική. ἀπὸ Νεμαύσου Ἡρακλείδου.

ν 149 Νεμέα: τόπος καὶ πόλις.

ν 150 Νέμεα καὶ Ἴσθμια: τόποι, ἐν οἷς ἐτελοῦντο ἐπέτειοι ἀγῶνες. ὅθεν καὶ λέων Νεμεαῖος, ὃν ἐκεῖ νεμόμενον ἀνεῖλεν Ἡρακλῆς. λέγεται δὲ καὶ θηλυκῶς ἡ Νεμέα, ὁ τόπος.

ν 151 Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. καὶ Νεμέας σέλινα. οἷς ἐστέφοντο οἱ νικηταί.

ν 152 Νεμέας χαράδρα: τόπος τις οὕτως ἐκαλεῖτο ἐν Πελοποννήσῳ.

ν 153 Νεμεσᾷ: μέμφεται.

ν 154 Νεμεσᾶν: τὸ ἐμποδὼν ἵστασθαι τοῖς πραττομένοις κατὰ γνώμην. ἢ μᾶλλον μὴ κατὰ γνώμην.

ν 155 Νεμεσηθείς: μεμφθείς. νεμεσηθεὶς δ' ἀλόχῳ κατορχήσει βέλει τρωθεὶς λείπει τὸν βίον. Ἰώσηπος· παρεκάλει τὸν θεὸν νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν. καὶ αὖθις· εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με μὴ πταίσαντα παρ' ἐλπίδας.

ν 156 Νεμεσήσομαι: φθονῶ. καὶ Νεμεσῆσαι, μέμψασθαι.

ν 157 Νεμεσητικός: ὁ ἐναντίος τῷ φθονερῷ. ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις, ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον, νεμεσητικὸς δὲ ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις· τοιοῦτον γὰρ ἡ νέμεσις. ὥστε ὁ νεμεσητικὸς οὐ φθονερός. ἔστι δὲ τὸ πρόβλημα ὁρικόν. ζήλῳ ῥητόρων τοῦτο λέγει· ὁριζομένου γάρ τινος φθονερὸν εἶναι καὶ τὸν λεγόμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νεμεσητικόν, ἐπειδὴ καὶ αὐτὸς μέμφεταί τινας, ἀνθοριζόμεθα, οὐ τὸν νεμεσητικὸν τοιοῦτον εἶναι, εἴπερ ὀρθῶς τινας μέμφεται, ἀλλὰ τὸν μὴ δέοντα μεμφόμενον· αὐτὸς γάρ ἐστι φθονερός.

ν 158 Νεμεσητόν: μεμπτόν.

ν 159 Νεμέσια· Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. μήποτε ἑορτή τις Νεμέσεως, καθ’ ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. Νεμέσια οὖν ἡ ἐπὶ τοῖς νεκροῖς γινομένη πανήγυρις, ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται.

ν 160 Νεμεσίζει: μέμφεται.

ν 161 Νεμεσίων: ὄνομα κύριον. ὁ δὲ Νεμεσίων ἀνεπτεροῦτο καὶ μετέωρος ἦν ταῖς ἐλπίσι καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι ἐμοὶ περιτυχών.

ν 162 Νέμεσις: ἡ δίκη. Ἀριστοφάνης· ἰὼ Νέμεσι, βαρύβρομοί τε βρονταί.

ν 163 Νέμεσις: μέμψις, δίκη, ὕβρις, φθόνος, τύχη. τὴν τῶν ἀλαζόνων τιμωρὸν συνέντες Νέμεσιν, ἥπερ αὐτοὺς μετῆλθε σὺν τῇ δίκῃ. καὶ αὖθις· οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις Νέμεσιν, ἀλλ’ ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς. παρῆν δ’ ἡ Νέμεσις, ἣ τὰ γῆς ἐποπτεύει· ἢ καὶ ἄλλως, ἣ τἄδικ’ ἐποπτεύει. Βάβριός φησιν ἐν Μυθικοῖς. καὶ Αἰλιανός· Νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια. καὶ παροιμία· Νέμεσις δέ γε πὰρ πόδας βαίνει· παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. λήθουσα δὲ πὰρ πόδας βαίνεις, γαυρούμενον αὐχένα κλίνεις, ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς.

ν 164 Νεμεσῶ· δοτικῇ.

ν 165 Νέμειν: καρποῦσθαι, διοικεῖν. ἀλλὰ παρ’ ἐμοὶ γενομένην πατρίδα τε νέμειν, ἣν ἐγὼ νέμω, καὶ οἶκον, ὃν ἐγὼ κέκτημαι.

ν 166 Νέμειν προστάτην: ἀντὶ τοῦ ἔχειν προστάτην· τῶν γὰρ μετοίκων ἕκαστος μετὰ προστάτου τῶν ἀστῶν τινος τὰ πράγματα αὑτοῦ συνῴκει καὶ τὸ μετοίκιον κατετίθει. καὶ τὸ ἔχειν προστάτην καλεῖται νέμειν προστάτην. Ὑπερίδης· ὥστε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους μάτην ἀπατᾶν ὑμᾶς, μὴ τυγχάνωσι δικαιότερα λέγοντες· καὶ νόμον ἡμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην.

ν 167 Νέμειος: ὁ ἐν τῇ Νεμέᾳ. τῇ Λοκρικῇ δηλαδή. ὁ γὰρ τῆς κατὰ τὴν Ἦλιν Νεμέας πολίτης Νέμεος ἀναγράφεται καὶ Νεμεαῖος, ἤδη δὲ καὶ Νεμεήτης· ὡς δῆλον ἐκ τοῦ Ζεὺς Νεμεήτης.

ν 168 Νεμηθέντων: κληρωθέντων. Αἰλιανός· ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν στάσιν.

ν 169 Νεμήσασθαι: διαμερίσασθαι.

ν 170 Νεμήσεις ὑποκριτῶν: οἱ ποιηταὶ ἐλάμβανον τρεῖς ὑποκριτὰς κλήρῳ νεμηθέντας ὑποκρινομένους τὰ δράματα, ὧν ὁ νικήσας εἰς τοὐπιὸν ἄκριτος παραλαμβάνεται. ἔστιν οὖν οἷον διαιρέσεις.

ν 171 Νέμοντα: διοικοῦντα.

ν 172 Νέμος ἐπάκτιον: τὸ ἄλσος, τὸ ὄρος τὸ παράλιον. Σοφοκλῆς· πάραλά τ’ ἄντρα, νέμος ἐπάκτιον. οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι.

ν 173 Νέμω: τὸ μερίζω. Νέμω, νομιῶ. τὴν δ’ ἄρ’ οὐκέτι νέμω πόλιν.

ν 174 Νέμω: τὸ μερίζω· δοτικῇ.

ν 175 Νέμω: τὸ βόσκω· αἰτιατικῇ.

ν 176 Νέμοιτο: καρποῖτο.

ν 177

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νένακτο: ἐπεπλήρωτο. Ἰώσηπος· συνεκπίπτει δὲ τοῖς πολεμίοις εἴσω· καὶ πᾶσα οἰκία ὁπλιτῶν νένακτο, τὰ τέγη δ’ ἦν τῶν μαινομένων κατάπλεα. ἐκ τοῦ νάσσω, νάξω, τοῦ καὶ παρ’ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ἐξ οὗ καὶ ὁ ναστὸς ἄρτος.

ν 178 Νενεωλκημένας ναῦς: ἔξω οὔσας, εἱλκυσμένας.

ν 179 Νενημένην καὶ Νενησμένην: σεσωρευμένην. Ξενοφῶν· εὕρῃς γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινῶν. καὶ Ἀριστοφάνης· τί κάθησθ’ ἀβέλτεροι, ὄντες λίθοι, ἀριθμός, πρόβατ’, ἄλλως ἀμφορεῖς νενησμένοι; τουτέστιν ἀνόητοι. πρὸς τοὺς θεατάς φησι· διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. ἀμφορεῖς δὲ ἀντὶ τοῦ ματαίως κέραμοι σεσωρευμένοι. νῆσαι γὰρ τὸ σωρεῦσαι. καὶ νῆσαι δισυλλαβῶς.

ν 180 Νενώμεθα: διανενοήμεθα.

ν 181 Νεοαρδέα: νεωστὶ πεποτισμένην.

ν 182 Νεογιλλόν: νεογέννητον. παρὰ τὸ νέον γίνεσθαι, νεογινόν. καὶ ὡς πνεύμων, πλεύμων Ἀττικῶς, καὶ νίτρον, λίτρον, οὕτω νεογινόν, νεογιλόν.

ν 183 Νεογνόν: νεωστὶ γεννηθέντα.

ν 184 Νεοδαμώδης: ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαιμονίοις.

ν 185 Νεόδμητον: νεοδάμαστον. καὶ νεοδόμητον.

ν 186 Νεοεργές: προσφάτως εἰργασμένον.

ν 187 Νεοθαλής: νεωστὶ βλαστήσασα.

ν 188 Νεοθανής: νεωστὶ τεθνεώς.

ν 189 Νεοθηγεῖ: νεωστὶ ἀκονηθέντι. ἡ δὲ σέθεν φθιμένης πολιοὺς νεοθηγεῖ σιδήρῳ κείρατο γηραλέης ἐκ κεφαλῆς πλοκάμους.

ν 190 Νεοκαισάρεια: Ποντική, φασί, πόλις. οἱ αὐτῆς καὶ Ἀδριανουπολῖται. ἔστι δὲ καὶ Βιθυνίας.

ν 191 Νεοκαταστάτοις ἀνθρώποις: φησὶ Θουκυδίδης. ἀντὶ τοῦ νεωστὶ κατῳκισμένοις.

ν 192 Νεοκλῆς, Ἀθηναῖος, φιλόσοφος, ἀδελφὸς Ἐπικούρου. ὑπὲρ τῆς ἰδίας αἱρέσεως. ὅτι Νεοκλέους ἐστὶ τό, λάθε βιώσας.

ν 193 Νεοκλείδου κλεπτίστερος: οὗτος κεκωμῴδηται, ὡς ῥήτωρ ἦν καὶ τυφλὸς καὶ συκοφάντης καὶ κλέπτης. Ἀριστοφάνης· Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός, κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε.

ν 194 Νεόκμητον: νεωστὶ κατεσκευασμένον.

ν 195 Νεολαία: νέων συναγωγή. ὁ νέος λαός. ὑπὲρ τοῦ τὴν νεολαίαν τὴν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἅμα τῷ θάρσει διαγωνίζεσθαι. καὶ Αἰλιανός· λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, προμοίροις δὲ θανάτοις διεφθείροντο ἡ νεολαία, καὶ ἦν ἀγονία καὶ μέντοι καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος. Νεωλέα δὲ ὁ τοῦ νεὼ λαός.

ν 196 Νεόλεκτος: ὁ νεωστὶ ἠθροισμένος λαός.

ν 197 Νέον· Ὅμηρος νέον ἡβώοντα οὐ λέγει νέον κατὰ ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα, οἷον νεωστὶ ἡβῶντα.

ν 198 Νέοντας: νηχομένους. ἐφεῖλκον καὶ ἵππους νέοντας τρεῖς ἅμα καὶ τέτταρας τοῖς ἀγωγεῦσι.

ν 199 Νέον τεῖχος: τῆς Αἰολίδος ἐστὶ τόπος. ὁ ἐκεῖθεν Νεοτειχίτης. ὡς καὶ τοῦ Χωλὸν τεῖχος τὸ περὶ Καρίαν Χωλοτειχίτης τὸ τοπικόν.

ν 200 Νεόπλουτος: ὁ νεωστὶ πλουτῶν.

ν 201

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νεορράντῳ: νεαρῷ ἀπὸ τοῦ αἵματος. Σοφοκλῆς· καὶ μοί τις αὐτὸν σὺν νεορράντῳ ξίφει πηδῶντα ἰδὼν ἐδήλωσε.

ν 202 Νέορτον: νέον. τί δ᾽ ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;

ν 203 Νεορρύτοις: νεωστὶ ῥέουσι.

ν 204 Νεός: ἡ νεωστὶ ἠροτριασμένη γῆ. καί τις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας, φύλασσεν ἑστώς.

ν 205 Νέος ἐστὶ καὶ ὀξύς: ἀμαθής ἐστι καὶ προπετής.

ν 206 Νεοσσία: ἡ καλιὰ τῶν στρουθίων.

ν 207 Νεόσμηκτον: νεόθηκτον. καὶ νεοκάθαρτον.

ν 208 Νεοσσός: ὁ στρουθός.

ν 209 Νεοσπάδα: τὴν νεωστὶ ἀποσπασθεῖσαν. Πισίδης· ταύτην δὲ τὴν φάλαγγα τὴν νεοσπάδα.

ν 210 Νεοτελής: νεωστὶ τετελειωμένος.

ν 211 Νεοτευχές: νεωστὶ κατεσκευασμένον.

ν 212 Νεοττεία: ἡ ἐκλέπισις.

ν 213 Νεόττιον: γέννημα. Ἀριστοφάνης· πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον. τοῦ Πισίου ὁ υἱὸς ὅμοιος βούλεται γενέσθαι τῷ πατρί. ἦν δὲ ὁ Πισίας προδότης. καὶ αὖθις· τρία κνώδαλα ἀναιδῆ, Πισίας Ὀσφύων, Διϊτρέφης.

ν 214 Νεοττός: ἡ τοῦ ᾠοῦ λέκιθος, καὶ τὸ πυρρόν. Μένανδρος Ἀνδρίᾳ· καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη, τὸν νεοττόν. Κλέαρχος ἐν τῷ Περὶ οἴνων συγγράμματί φησιν· ὃ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ. διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος. ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ Περὶ χρησμῶν. ὄναρ γάρ τινά φασι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠά, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν, ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον. εὑρόντα δὲ σταμνίον ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει· τὸν δὲ μάντιν εἰπεῖν· τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως; καὶ Δίφιλος κέχρηται τῇ λέξει· ᾠῶν δ᾽ ἐν αὐτῇ διέτρεχεν νεόττια.

ν 215 Νεοττός: καὶ ὁ νεογνὸς ὄρνις. οἶδά τοι ἔγωγε καὶ ἐς η′ ὅλας ἡμέρας ἀναλωθέντα αὐτῷ κατοικιδίας ὄρνιθος οὐ μέγαν νεοττόν.

ν 216 Νεουργόν: νεωστὶ εἰργασμένον.

ν 217 Νεόφθιτον: νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.

ν 218 Νεοφρῶν ἢ Νεοφῶν, Σικυώνιος, τραγικός· οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν· ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς καὶ οἰκετῶν βάσανον. ἐδίδαξε δὲ τραγῳδίας ρκ′. συνῆν δὲ τὰ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.

ν 219 Νεόφυτον: τὸ νεωστὶ φυτευθέν.

ν 220 Νεόφυτος: ὄνομα κύριον.

ν 221 Νεοχάρακτα: νεωστὶ κεχαραγμένα. Σοφοκλῆς· ἴχνη τὰ κείνου νεοχάρακτα. ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζῴων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.

ν 222 Νεοχμός: νέος, νέαν καὶ ἀκαταπόνητον δύναμιν ἔχων. μὴ παρόντων ἐς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταύτας δυναμένων, πολλὰ νεοχμεῖσθαι ἐν τοῖς πολιτικοῖς. Ἀριστοφάνης· τέρας νεοχμόν. ἀντὶ τοῦ παράδοξον. ἀτοπίας πλέων. ἀντὶ τοῦ θαύματος.

ν 223

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νεοχμοῦν: καινοτομεῖν, νεώτερα ἐργάζεσθαι. νέων ἔχεσθαι πραγμάτων. ὁ δὲ φυλάσσειν τῶν καθεσταμένων οὐδὲν ἠξίου, πάντα δὲ νεοχμοῦν ἐσαεὶ ἤθελε.

ν 224 Νεοχμώσαντες: νεωστὶ κινήσαντες. Ἡρόδοτος.

ν 225 Νεοχμώσειν: νεωτερισθῆναι, καινόν τι ἐργάσασθαι. ἀσχόλους τε γὰρ αὐτοὺς ὄντας διὰ τὸν πόλεμον μηδὲν νεοχμώσειν.

ν 226 Νέω: τὸ κολυμβῶ, καὶ τὸ πορεύομαι.

ν 227 Νεωκορήσει: ἐνίοτε ἀντὶ τοῦ ἱεροσυλήσει. κορεῖν γὰρ λέγουσι τὸ καλλύνειν, τὸ σαροῦν, καὶ ἐκκαλλύνειν. τό τε ἐκκορηθείης ἀντὶ τοῦ ἐκκαλυνθείης.

ν 228 Νεωκόρος: ὁ τὸν ναὸν κοσμῶν καὶ εὐτρεπίζων. ἀλλ’ οὐχ ὁ σαρῶν.

ν 229 Νεωλέα: ὁ τοῦ νεὼ λαός. Νεολαία δὲ ἡ νεόλεκτος.

ν 230 Νεωλκήσας: ἔξω τὴν ναῦν ἑλκύσας.

ν 231 Νέων, Νέωνος: ὄνομα κύριον. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος περὶ τῆς πρὸς Φίλιππον τούτου φιλίας φησιν.

ν 232 Νεώνητον: τὸν νεωστὶ ἠγορασμένον. ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος ὁ Κλέων, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιστεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ συντραφεῖσιν, ἢ οἷς ἂν ἐπικτησώμεθα πριάμενοι.

ν 233 Νεωρῆ: νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς καὶ ὥραν ἔχοντος νέαν. ὁρῶ νεωρῆ βόστρυχον τετμημένον. καὶ Σοφοκλῆς· φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου.

ν 234 Νεώρια: ὁ ναύσταθμος τῶν νεῶν. ἐμπρήσαιεν ἂν τὸ νεώριον. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος, ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον. τίφη μὲν θηλυκῶς ἡ καὶ σίλφη, ζωΰφιον κανθαρῶδες. ᾧ δοκοῦσι Βοιωτοὶ ἐμπηγνύντες δᾷδα ἡμμένην ἤ τι τοιοῦτον ἐμπυρίζειν ὃ δύνανται. τοῦτο δὲ καὶ δι’ ἀλωπέκων καὶ χελωνῶν ἐγένετο. Τῖφος δέ γε τὸ δάσος. παρὰ τὸ ὑποτύφειν, φασί, καὶ κρύπτειν τὰ ἔσω αὐτοῦ, τροπῇ συνήθει τοῦ υ εἰς ι. ἡ δὲ τίφη καὶ σπερματίου λεπτοῦ ἐστιν ὄνομα.

ν 235 Νεώρια καὶ Νεώσοικοι: μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας, εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε καὶ Ἀνδοκίδης.

ν 236 Νεώς: Ἀττικῶς, ὁ ναός. θηλυκῶς δὲ ἐπὶ γενικῆς νεώς, τοῦ πλοίου.

ν 237 Νεώσατε: ἀροτριάσατε.

ν 238 Νεῶσι· Δημοσθένης κατ’ Αἰσχίνου. πόλις ἐστιν ἐν τῇ Φωκίδι. Ἡρόδοτος μὲν ἐν η′ Νεῶνα ὀνομάζει, Ἀνδροτίων δὲ ἐν ϛ′ Ἀτθίδος Νεῶνας.

ν 239 Νεωστί: προσφάτως. ὥσπερ ἐκ τοῦ μεγάλων μεγάλως καὶ Ἀττικῶς μεγαλωστί, οὕτω νέων, νέως, νεωστί. καὶ ἔστιν ὅμοιον τὸ οὕτω τι· εἰ καὶ βαρύνεται ἐκεῖνο.

ν 240 Νεώσοικοι: οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. ὅτι Πολυκράτης ὁ Σαμίων τύραννος τῶν ὑφ’ ἑωυτῷ ὄντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ἐς νεωσοίκους συνειλήσας εἶχεν ἑτοίμους, ἢν ἄρα προδιδῶσιν οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι.

ν 241 Νέωτα: τὸ ἐπιὸν ἔτος· ἤτοι εἰς τὸ μέλλον. παρὰ τὸ ἕνος φασιν, ἕνοστα, καὶ ἀπελεύσει τοῦ ς ἕνοτα, καὶ μεταθέσει τοῦ ε καὶ ἐκτάσει τοῦ ο εἰς ω νέωτα. αἰεὶ γεωργὸς ἐς νέωτα πλούσιος. ἢ ἐκ τοῦ νέως, ἐξ οὗ τὸ νεωστί, νέωστα, ὡς δή, δῆτα, ἐπεί, ἔπειτα, καὶ ἐκδρομῇ τοῦ ς νέωτα. τὸ ἐκ νέου, καὶ ἔναγχος.

ν 242 Νεώτερα· τοῦτον δὲ ἀνεῖλον ὡς νεώτερα κατὰ Ῥωμαίων πράττοντα.

ν 243 Νεωτερίζει: καινὰ πράττει.

ν 244 Νεωτερίζειν. Θουκυδίδης· τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει, νύκτες δὲ μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἀσθένειαν ἐνεωτέριζον. ὁ δὲ βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀνενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην.

ν 245 Νεωτερισμός. ἀνταρσία.

ν 246 Νεώτερον: καινόν. ὁ δὲ ἔλεγε δεδιέναι ἂν ἀδόκητόν τι καὶ νεώτερον κακὸν ἀπαντήσῃ.

ν 247 Νεωτεροποιός: ἀντάρτης, τύραννος, ἐπιθέτης.

ν 248 Νεώτερος: τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. ἀντὶ τοῦ νέος.

ν 249 Νέπετος: πόλις Ἰταλίας. παρὰ Διονυσίῳ ἐν Ῥωμαϊκοῖς. τὸ ἐθνικὸν σεσημείωται· Νεπεσῖνος γάρ, τροπῇ τοῦ τ εἰς ς.

ν 250 Νέποδες: οἱ ἰχθύες. παρὰ τὸ νε στερητικὸν καὶ τὸ ποῦς· ἄποδες γάρ εἰσιν. ἐν Ἐπιγράμμασι· πτηνὰ καὶ ἀγροτέρων κέρδεα καὶ νεπόδων.

ν 251 Νέποδες: νηξίποδες· τὸ γὰρ ἄποδες ψεῦδος· ἔχουσι γὰρ πόδας αἱ φῶκαι. ἀμφὶ δέ μιν φῶκαι νέποδες. Ὅμηρος. Νέπως δέ, Νέπωτος, ἐθνικόν. καὶ ὄρους δὲ ἀνύδρου ὄνομα. παρὰ τὸ νε στερητικὸν καὶ τοῦ πῶμι, πώσω, κατὰ τοὺς παλαιούς. ἐξ οὗ δηλαδὴ οὐκ ἔστι πιεῖν.

ν 252 Νέρβας, βασιλεὺς τῶν Ῥωμαίων. οὗτος καὶ τὸν εὐαγγελιστὴν Ἰωάννην ἀπὸ τῆς ἐξορίας Πάτμου ἀνακαλέσας ἤγαγεν ἐν Ἐφέσῳ· καθ’ ὃν καιρὸν καὶ τὸ τῶν Μανιχαίων ἀνεφάνη δόγμα, αὐτοῦ Μάνεντος φανερῶς ἐξηγουμένου.

ν 253 Νεργόβριγες· ἐθνικόν. Ἀππιανός· Νεργόβριγες δ’ αὐτοῦ περὶ τῆς μετριοπαθείας πυθόμενοι ἐθαύμαζον.

ν 254 Νέρων, βασιλεὺς Ῥωμαίων. οὗτος κραταιουμένης αὐτῷ τῆς βασιλείας ἐς ἀνοσίους πράξεις ἐξώκειλε καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων καὶ τραγῳδῶν καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων. καὶ πρὸς πάσαις αὐτοῦ ταῖς ἀθεμιτουργίαις καὶ τὸ τῆς θεομαχίας μύσος προσέθηκε, διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. μετὰ δὲ ταῦτα ἀνεῖλε καὶ τὴν μητέρα καὶ ἑαυτόν. ὅτι Νέρων ἔτι νέος ὢν ἐσχόλαζε φιλοσόφοις καὶ τὰ περὶ τοῦ Χριστοῦ κατεμάνθανεν· ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναστρέφεσθαι. καὶ μαθών, ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐσταυρώθη, ἠγανάκτησε καὶ προσέταξεν ἐλθεῖν τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν καὶ αὐτὸν Πιλάτον τὸν ἄρχοντα τότε γενόμενον σιδηροδεσμίους. καὶ καθίσας ἐπὶ τῆς συγκλήτου τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον, ὅτι ἡμεῖς τοῖς νόμοις αὐτὸν παρεδώκαμεν καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν· ὁ γὰρ ἄρχων ἐξουσίαν ἔχων ὅσα ἠβουλήθη ἔπραξεν. ἀγανακτήσας οὖν ὁ Νέρων Πιλάτον ἐν τῷ δεσμωτηρίῳ ἐνέβαλε, τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ μάγος. καὶ διαλεγομένων Πέτρου καὶ Σίμωνος παρουσίᾳ Νέρωνος, ἤχθη Πιλάτος ἀπὸ τοῦ δεσμωτηρίου· καὶ παρισταμένων τῶν τριῶν τῷ Νέρωνι, ἐρωτᾷ τὸν Σίμωνα, σὺ εἶ ὁ Χριστός; ὁ δὲ λέγει, ναί. εἶτα ἐρωτᾷ τὸν Πέτρον, σὺ εἶ ὁ Χριστός; ὁ δὲ λέγει, οὔ· ἐμοῦ γὰρ παρισταμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη. ἠρώτησε δὲ καὶ τὸν Πιλάτον, ποῖός ἐστιν ἐκ τούτων ὁ λεγόμενος Χριστός; καὶ εἶπεν, οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ γέγονε καὶ εἰσηνέχθη παρ’ ἐμοὶ ὡς μαθητὴς αὐτοῦ καὶ ἠρνήσατο αὐτὸν λέγων, οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ ἀπέλυσα αὐτόν. οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωσταί μοι, οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔστι γὰρ οὗτος καὶ Αἰγύπτιος καὶ ἐμπληθὴς καὶ κατάκομος καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος. ἀγανακτήσας οὖν ὁ βασιλεὺς κατὰ μὲν τοῦ Σίμωνος ὡς ψευσαμένου καὶ εἰπόντος ἑαυτὸν Χριστόν, κατὰ δὲ τοῦ Πέτρου ὡς ἀρνησαμένου τὸν διδάσκαλον ἐξέβαλεν αὐτοὺς ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ συνεδρίου. τὸν δὲ Πιλάτον τῆς κεφαλῆς ἀπέτεμεν ὡς τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς προστάξεως. ὡς δὲ ἐκλήθη ὁ Νέρων πηλὸς αἵματι πεφυρμένος. κεῖται ἐν τῷ Ἀλέξανδρος Αἰγαῖος.

ν 255 Νέρτερος: κατώτερος. τὸ ἐντελὲς ἐνέρτερος καὶ ἀφαιρέσει νέρτερος. ὁμοίως τὸ ἔνερθεν, νέρθεν· οὕτω καὶ ἐκ τοῦ ἐς κόρακας τὸ σκορακίζειν.

ν 256 Νέσσος: ὁ Κένταυρος, περὶ οὗ φησι Σοφοκλῆς. Δηϊάνειρά φησιν· οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν ἔνεστι, πείρᾳ δ' οὐ προσωμίλησά τω. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκεῖς ἔχειν, ἔχοις ἂν γνῶναι μὴ πειρωμένη.

ν 257 Νέσσων: πόλις Θεσσαλίας. καὶ λίμνη Νεσσωνίς.

ν 258 Νεστορέῃ: τῇ τοῦ Νέστορος. καὶ Νεστόρειος οἶκος, τοῦ Νέστορος.

ν 259 Νεστορίδης: πατρωνυμικόν.

ν 260 Νεστόριος· μετὰ Μάνεντα καὶ Παῦλον καὶ Ἀπολινάριον καὶ Θεόδωρον ἐφάνη Νεστόριος ἀπὸ Γερμανικείας τῆς Συρίας, τὸν θρόνον Κωνσταντινουπόλεως δραξάμενος· ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριστῷ δύο φύσεων κακοφρόνως ἀποχρησάμενος Παύλῳ καὶ Θεοδώρῳ τοῖς ἑαυτοῦ προγόνοις· υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως. καὶ διὰ τοῦτο πρὸς τὴν ἁγίαν παρθένον καὶ θεοτόκον ἄσπονδον ἤρατο πόλεμον. τρίτος προστάτης γεγονὼς τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν καὶ ἄλλον τὸν θεὸν λόγον κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισε. μετὰ δὲ τοῦτον Εὐτύχης. οὗτος δὲ ὁ Νεστόριος φυσικῶς εὔλαλος ὢν πεπαιδεῦσθαι μὲν ἐνομίζετο, τῇ δὲ ἀληθείᾳ ἀνάγωγος ἦν καὶ τὰς τῶν παλαιῶν ἑρμηνεύων βίβλους ἀπηξίου μανθάνειν· τυφούμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας οὐκ ἀκριβῶς προσεῖχε τοῖς παλαιοῖς, ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν.

ν 261 Νέστωρ, Λαρανδεύς, ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σευήρου τοῦ βασιλέως· Ἰλιάδα λειπογράμματον ἤτοι ἀστοιχείωτον· ὁμοίως δὲ αὐτῷ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν· ἔστι γὰρ ἐν τῇ πρώτῃ μὴ εὑρίσκεσθαι ἄλφα καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνειν στοιχεῖον. Μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαεύς, καὶ ἄλλα.

ν 262 Νεοίη: θράσος νεότητος, προπέτεια. ἐπίρρημα παρ' Ὁμήρῳ γίνεται ἐκ τοῦ νέος, νεοῖος, ὡς ἠώς, ἠά, ἠοῖος.

ν 263 Νέοις μὲν ἔργα, βουλὰς δὲ γεραιτέροισιν.

ν 264 Νευθάν: εἶδος μέτρου.

ν 265 Νεῦμαι: ἀντὶ τοῦ ἐλεύσομαι. Ὅμηρος· ἠῶθεν γὰρ νεῦμαι. ἐνεστῶτός ἐστι νέομαι, νεῦμαι. βούλεται δὲ εἰπεῖν ἐλεύσομαι.

ν 266 Νεῦρα μάχης: ὁ πλοῦτος. Πισίδης· βλέπων μάλιστα καὶ τὰ νεῦρα τῆς μάχης, τὸν πλοῦτον ἐκρεύσαντα πρὸς τοὺς βαρβάρους.

ν 267 Νευράν: χορδήν. τὸ παχὺ ἔντερον τοῦ προβάτου.

ν 268 Νευρῆφιν: ἐκ τῆς νευρᾶς τοῦ τόξου.

ν 269 Νεῦροι θ' Ἱπποπόδες τε: οἱ αὐτοὶ καὶ Νευρῖται. Σαρματίας ἔθνος. ἡ χώρα Νευρίς.

ν 270 Νεῦρον: δι' οὗ νεύει τὰ κατὰ σῶμα. ἢ παρὰ τὸ νέω· νεῖται γὰρ τὰ νεῦρα δι' ὅλου τοῦ σώματος.

ν 271 Νευροσπαδὴς ἄτρακτος: παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ. ὃν ἀφίησί τις τῇ νευρᾷ ἐπισπώμενος αὐτόν.

ν 272 Νευσούμενοι: κολυμβήσοντες. Ξενοφῶν· ἐκδύντες, ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσούμενοι ἐπειρώμεθα διαβαίνειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν 273 Νεφέλαι: ἡ καπνώδης ἐκ γῆς ἀναθυμίασις. καὶ εἶδος δικτύου θηρευτικοῦ. ἐτυμολογεῖται νεφέλη παρὰ τὸ νείφειν, ὅ ἐστι βρέχειν, καὶ τὸ ἕλκειν. ἡ βροχὴν ἐφελκομένη.

ν 274 Νεφέλας ξαίνεις: ἐπὶ τῶν μάτην πονούντων καὶ ἀδυνάτων. εἴληπται ἴσως τὸ ξαίνειν ἐκ τοῦ εἰπόντος, ἐοικέναι τὰς νεφέλας ἐρίοις ἀναπεπταμένοις.

ν 275 Νεφελοκοκκυγία: πόλις παρὰ Ἀριστοφάνει πεπλασμένη εἰς τὸν ἀέρα οὖσα. ἣν παίζει ἐκεῖνος ὑπὸ ὀρνίθων πεπολίσθαι.

ν 276 Νεφθαλείμ: ὄνομα πόλεως.

ν 277 Νεφθαλῖται: ἔθνος ἐπικρατῆσαν τῆς ἕω παρὰ Ἰωσήπῳ.

ν 278 Νέφος: οἱονεὶ νέφαος, τὸ ἐστερημένον φωτός. οὕτω καὶ κνέφας, τὸ κενὸν φάους.

ν 279 Νεφροί: οἱ λογισμοί. ἐπειδὴ τὰς ὑπογαστρίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσιν, ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί.

ν 280 Νεφροὶ σώματος: εἰς οὓς νείφεται τὸ οὖρον.

ν 281 Νείατος: ἔσχατος. καὶ οὐδέτερον Νείατον.

ν 282 Νείαιρα: τόπος ἔσχατος τῆς γαστρός.

ν 283 Νεικέσαι: παρ' Ὁμήρῳ τὸ λοιδορῆσαι, ἀλλ' οὐ τὸ κρῖναι.

ν 284 Νεικεῖ: ψέγει, φιλονεικεῖ.

ν 285 Νεικείησι: κακολογήσει.

ν 286 Νείκη: ἡ φιλονεικία.

ν 287 Νεῖκος: διαφορὰ μετ' ἐπιπλήξεως· οἱ δὲ μάχη, φιλονεικία, λοιδορία. ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει. λέγων κατὰ μέμψιν. καί, νεῖκος Ὀδυσσῆος. καὶ μάχη. ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη. Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη. Νῖκος δὲ ἡ νίκη, διὰ τοῦ ι. οὐ μόνον δὲ ἡ φιλονεικία διὰ διφθόγγου, ἀλλὰ καὶ ἡ διὰ χειρῶν μάχη.

ν 288 Νείλεως: ὄνομα κύριον· ὁ καὶ Νειλεὺς κοινῶς ἢ Νείλευς Αἰολικῶς· οὗ ἀποικία περιᾴδεται εἰς Ἀσίαν. γίνεται, φασί, παρὰ τὸ νέος καὶ τὸ λεὼς Νεόλεως καὶ κράσει τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον Νείλεως, ὁμοίως τῷ Κλεοσθένης, Κλεισθένης, Πλεοσθένης, Πλεισθένης, δέον, δεῖν, πλέον, πλεῖν ἤ, φασίν, ἀπὸ τοῦ Νηλεὺς Νηλέως γενικῆς γέγονεν ἀναδρομῇ τῆς γενικῆς εἰς εὐθεῖαν καὶ τροπῇ Βοιωτικῇ τοῦ η εἰς τὴν ει δίφθογγον Νείλεως, Αἰολικῶς μετὰ προπαροξυτονήσεως.

ν 289 Νεῖλος: ὁ ποταμός. καὶ οὐδετέρως Νειλομέτριον, τὸ τοῦ Νείλου μέτρον. καὶ Νειλῴοις. καὶ Νεῖλος, ὄνομα κύριον. Νέϊλος γάρ φασι παρὰ τὸ νέειν, ἤγουν ῥέειν, ἰλύν, ἵνα ᾖ Νέϊλος, Νεῖλος. ζήτει περὶ τοῦ Νείλου ἐν τῷ Βραχμᾶνες.

ν 290 Νεῖν: κολυμβᾶν, καὶ τὸ νήθειν κρόκην. Ἀρριανός· ὅσοι κουφότατοι καὶ κουφότατα ὡπλισμένοι καὶ τοῦ νεῖν δαημονέστατοι, τούτους ἐκνήξασθαι κελεύει ἀπὸ συνθήματος. καὶ αὖθις· ὥσπερ γὰρ οἱ ὄρνιθες ἵπτασθαι καὶ νεῖν ἰχθύες αἵ τε ἔλαφοι θεῖν, ἐπεὶ πεφύκασιν, οὐδὲν τοῦ διδαχθῆναι προσδέονται. τοῦ δὲ νεῖν, ἤτοι νήθειν, χρῆσις παρ' Ἡσιόδῳ ἐν τῷ, τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης. τινὲς δὲ τὸ νεῖ νήματα διὰ τοῦ η ἔγραψαν, ὡς ἀποκοπὲν ἐκ τοῦ νήθει. πλὴν καὶ οὕτως ἡ ἀναλογία τὸ νῶ, νεῖς, νεῖ οἶδε πρωτότυπον· ἐξ οὗ παράγωγον τὸ νήθω· τὸ κνῶ, κνήθω, σῶ, σήθω.

ν 291 Νειός: ἡ νενεασμένη γῆ. καὶ Νειοῖο.

ν 292 Νεῖσθαι: κολυμβᾶν.

ν 293 Νεῖται: ἀφίξεται, ἐλεύσεται. οὐδ' ἔτι νεῖται ἰξὸν ἐπ' ἀγρευταῖς χευάμενος καλάμοις.

ν 294

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νείφω: τὸ βρέχω, διὰ διφθόγγου. Νιφόμενος δὲ χιονιζόμενος, διὰ τοῦ ι. Νήφων δὲ ἐγρηγορῶν, διὰ τοῦ η.

ν 295 Νῆ: στερητικὸν ἐπίρρημα. ἔστι δὲ καὶ ἐπιτατικόν. ὅθεν νήχυτον ὕδωρ καὶ νήχυτος ὄρπηξ.

ν 296 Νῆα: ναῦν, πλοῖον. ὅτι δὲ διαφέρει πλοῖα νηῶν, ὡς οἱ παλαιοὶ παρασημειοῦνται, δεδήλωται καὶ ἐν τοῖς εἰς τὴν Ἰλιάδα.

ν 297 Νηγάτεον: λεπτόν, καινόν, ἁπαλόν, λευκόν, εὐφυές. τινὲς μὲν οὕτω νηγάτεον, τὸ καινόν, ὡς νεηγάτεον, τὸ ἐκ νέου γεγενημένον, πρὸς ὁμοιότητα τοῦ νεηγενές. ἕτεροι δὲ κατὰ στέρησιν τὸ μὴ γατόν, ἤγουν γεγονός, ἀλλ’ οἷον ἀχειρόκμητον.

ν 298 Νήγρετος: ἀνέγρετος.

ν 299 Νὴ Δία: μὰ τὸν Δία.

ν 300 Νήδυμος: ὁ ἡδὺς καὶ γλυκὺς ὕπνος. ἢ ὁ βαθὺς καὶ ἀνέκδυτος· παρὰ τὸ νη στερητικὸν καὶ τὸ δύω ῥῆμα.

ν 301 Νηδύς: γαστήρ, μήτρα.

ν 302 Νήεον ὕλην: ἐσώρευον ὕλην. καὶ νηήσας, σωρεύσας.

ν 303 Νῆες: τὰ πλοῖα.

ν 304 Νήϊα: τὰ ναυπηγήσιμα ξύλα. καὶ Νήϊον, ὄρος Ἰθάκης, τὸ καὶ Ὑπονήϊον.

ν 305 Νήϊδα: ἄπειρον, ἀμαθῆ, ἀσθενῆ. Νηΐδες δὲ νύμφαι.

ν 306 Νῆϊς: οὐκ εἰδώς, ἄπειρος. τὴν δὲ Νηΐδα νύμφην, παρὰ τὰ νάματα ἔνιοι, καὶ τὸν Νεῖλον. καὶ ἐν Σάμῳ δὲ θηρία γενέσθαι, ὧν φθεγγομένων ῥήγνυσθαι τὴν γῆν· ἐκαλοῦντο δὲ νήϊα, ὡς Εὐταίων.

ν 307 Νηΐτης: ὁ διὰ τῶν νηῶν. οὐ μόνον νηΐτῃ στόλῳ, ἀλλὰ καὶ διὰ γῆς κατὰ Βανδίλων ἐστράτευσε. καὶ Αἰλιανὸς περὶ Λακεδαιμονίων· νηΐταις κινδύνοις μὴ πάνυ συντραφέντες.

ν 308 Νηκερδής: ἀνωφελής, ἀσύνετος.

ν 309 Νηκούστησε: παρήκουσε.

ν 310 Νηκτά: ἔνυδρα, κολυμβητά.

ν 311 Νηλεῶς: ἀπανθρώπως, σκληρῶς. λέγεται καὶ Νηλειῶς.

ν 312 Νηλεύς: ὄνομα κύριον.

ν 313 Νηλής: ὁ ἀνηλεής.

ν 314 Νηλίπους: ὁ ἀνυπόδητος. παρὰ τὸ νη στερητικὸν καὶ τὸ λίπος. γερονταγωγεῖ, πολλὰ μὲν κατ’ ἀγρίαν ὕλην ἄσιτος νηλίπους τ’ ἀλωμένη.

ν 315 Νηλιτής: ὁ ἁμαρτωλός. τούτου ἐστὶ καὶ θηλυκὸν αἱ Νηλιτίδες ἐν Ὀδυσσείᾳ· ἐκ τοῦ νηλίτης βαρυτόνου ἀρσενικοῦ. καὶ ἔστι μὲν ἡ ἀπ’ ἀρχῆς δευτέρα, ἤγουν ἡ λι συλλαβὴ ἀναλόγως ἐν τῷ βιβλίῳ τούτῳ διὰ τοῦ ι. οἱ δὲ Τεχνικοὶ διὰ τοῦ η εἰδότες αὐτὸ καὶ ζητοῦντες αἰτίαν, Αἰολικὴν αἰτιῶνται τροπὴν τοῦ ι εἰς η· ὃ πρὸς ἄλλοις καὶ ἐν τῷ ψιμύθιον, καὶ Αἰολικῶς ψημύθιον. λύσις ὀνείρου· νενησμένα κρατῶν δὲ προσδόκα λύπας.

ν 316 Νῆμα: καὶ νήματα. ἐκ τοῦ νήθω, τὸ κλώθω. μάλιστα ἐκ τοῦ νῶ, νήσω.

ν 317 Νημερτές: ἀληθές. καὶ Νημερτής.

ν 318 Νηνεμία: ἀνέμων ἀπουσία.

ν 319 Νήνεμος: ἄνεμον οὐκ ἔχων.

ν 320 Νηοφυλακεῖον. μήποτε προπαροξυτόνως καὶ διὰ τοῦ ι ὡς γαζοφυλάκιον.

ν 321

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νηπενθές: ἀπενθές. ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων.

ν 322 Νήπειον φρόνημα· Νηπία δὲ ἡλικία.

ν 323 Νήπια: τὰ βρέφη. παρὰ τὸ νη στερητικὸν καὶ τὸ ἔπος, τὰ μήπω λέγειν δυνάμενα. ἢ παρὰ τὸ νη ἐπιτατικὸν καὶ τὸ ἤπιον, τὰ παρὰ τὸ δέον ἤπια.

ν 324 Νηπιέη: ἀφροσύνη. κτητικὸν τοῦτο τοῦ νήπιος.

ν 325 Νήπιος: ἄφρων, ἀνόητος. Φίλιππος ὁ Μακεδὼν πολλοὺς ἀνελὼν ὕστερον ἐφθέγξατο τοῦτον τὸν στίχον· νήπιος, ὃς πατέρα κτείνας υἱοὺς καταλείπει. Νήπιοι, οὐδ’ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. ἔσθ’ ὅτε γὰρ πλειόνων ἐπιθυμῶν τις ἀποβάλλει καὶ ἃ ἔχει.

ν 326 Νηποινί: ἄνευ τιμωρίας καὶ ποινῆς. αἰτιώτατος γεγονὼς τῆς στάσεως οὐ φεύξεται νηποινὶ τὸ ἐπίκλημα. καὶ αὖθις· οὐ γὰρ νηποινί γε πείσεσθαι, ἃ πρὸς αὐτῶν ἐπεπόνθει.

ν 327 Νηπύτιος: νήπιος· ποιητικῶς. ἐστερημένος τοῦ πεπνῦσθαι. Ἀριστοφάνης Νεφέλαις· νηπύτιος γάρ ἐστι καὶ τῶν κρεμάθρων οὐ τρίβων τῶνδε.

ν 328 Νηρεύς: ὁ θαλάσσιος θεός. παρὰ τὸ νάω, τὸ ῥέω.

ν 329 Νηρῇδας: τὰς νύμφας, κατὰ συγκοπὴν τοῦ ι.

ν 330 Νηρηΐδες: νύμφαι. ν′ τὸν ἀριθμόν εἰσι. Σοφοκλῆς· τῶν ἑκατομπόδων Νηρηΐδων ἀκόλουθοι.

ν 331 Νηρῇς: κατὰ συναίρεσιν ἐκ τοῦ Νηρηΐς, ὥσπερ καὶ τὸ Χρυσηΐς, Χρυσῇς, καὶ Βρισηΐς, Βρισῇς.

ν 332 Νηρίθμους: ἀναριθμήτους, ἀπείρους.

ν 333 Νηρηΐνη. θυγάτηρ τοῦ Νηρέως.

ν 334 Νηρίον. ἴσως ὁ νηρίτης, ὑποκοριστικῶς, ἵνα ἐκ τοῦ νηρός. ὅθεν ὁ νηρίτης εἴη καὶ τὸ Νηρίον.

ν 335 Νηρίς: πόλις Μεσσήνης.

ν 336 Νηρίτης: θαλάσσιος κόχλος. ἐκ τοῦ νέω, νῶ, νήσω, τὸ κολυμβῶ, νηρός, ἰχθύς. καὶ νηρὸς μυχὸς παρὰ Λυκόφρονι ὁ κοῖλος, ἢ κάθυγρος. καὶ ἐκ τοιαύτης παραγωγῆς ὁ νηρίτης. εἰ γὰρ ἦν κατά τινας ἐκ τοῦ Νηρεύς, διὰ διφθόγγου ἂν εἶχε τὴν παραλήγουσαν ὁ νηρίτης.

ν 337 Νήριτον: ὄρος. ἔστι καὶ νήριτος ὕλη, ἡ δασυτάτη· πρὸς ἣν οὐκ ἂν ἑτέρα ἐρίσοι. Νήρικον δὲ ἐν τῷ κ′ τόπος Ἠπείρου ἐν Ὀδυσσείᾳ, ἡ ὕστερον Λευκάς.

ν 338 Νῆσσα: τὸ ὄρνεον. καὶ Νῆττα λέγεται Ἀττικῶς. ἐκ τοῦ νῶ, νήσω, τὸ κολυμβῶ.

ν 339 Νῆσσα: ὄνομα κύριον. ὅτι Δυσαύλης ὄνομα συνῴκησε τῇ Βαυοῖ καὶ ἔσχε παῖδας Πρωτονόην τε καὶ Νῆσσαν.

ν 340 Νῆσαι: σωρεῦσαι. καὶ Νήσουσι, σωρεύσουσι. ἔστι καὶ νηῆσαι τρισύλλαβον.

ν 341 Νησίον· καὶ Νησιώτης, ὁ ἀπὸ νήσου. καὶ Νησύδριον, νησίον μικρόν.

ν 342 Νῆσις, Νήσιδος: ὄνομα πόλεως, καὶ ὄνομα θεᾶς. Νησῖδος δὲ τὸ ὑποκοριστικόν. ἐν Ἐπιγράμμασι· ἀκταίης νησῖδος ἁλιξάντοισι χοιράσι.

ν 343 Νῆσος. ἐκ τοῦ νῶ, νήσω· ἡ οἷον ἐγκολυμβῶσα ὕδατι. ἤ, φασί, καὶ ὡς ἀπὸ τοῦ ὀρνέου τῆς νήσσης, καθ’ ὁμοιότητα. ἐντεῦθεν Νησίτης καὶ πλεονασμῷ Νησιώτης, ὡς ἀγροιώτης.

ν 344 Νησώπη: νῆσος Λέσβου, τὸν Σίγριν, φασί, λιμένα ποιοῦσα.

ν 345 Νηστεία: ἐκ τοῦ νηστεύω. καὶ Νήστιμος, ἡ τῆς νηστείας ἡμέρα.

ν 346 Νῆστις: ὁ ἄσιτος, καὶ τὸ μεταξὺ τῆς κοιλίας καὶ τοῦ στομάχου ἔντερον. παρὰ τὸ νη στερητικὸν μόριον καὶ τὸ ἔδειν, ὁ ἐστερημένος τοῦ ἔδειν, ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ σῖτος. Νῆστίς θ’, ἢ δακρύοις γε πικροῖς νωμᾷ βρότειον γένος. τὸ ὕδωρ λέγων.

ν 347 Νήτη: χορδὴ μουσικὴ ὀξὺν φθόγγον ἀποτελοῦσα.

ν 348

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νὴ τήν: μὰ τήν. ἐλλειπτικόν, κατὰ τὸ μὰ τὸν καὶ μὰ τάς.

ν 349 Νὴ τὴν ἱερὰν κεφαλήν: τὸ νὴ κατωμοτικόν ἐστιν ἐπίρρημα, τουτέστι μεθ’ ὅρκου βεβαιωτικόν, ὥσπερ τὸ μὰ ἀπωμοτικόν, μεθ’ ὅρκου ἀρνητικόν.

ν 350 Νὴ τὸν καὶ Ναὶ μὰ τόν: κατωμοτικὰ ταῦτα· ἀπωμοτικὰ δὲ μὰ τὸν Δί’, οὐ μὰ τόν. ὥστε ἐσχάτη ἀκυρολογία τὸ λέγειν, μὰ τὸν Δία ποίησον.

ν 351 Νῆτον: τὸ ὑγρόν. δυϊκὸν ῥῆμα. ἴσως ἀντὶ τοῦ πορευθῆτον ἢ σωρευθῆτον.

ν 352 Νῆτρον: τὸ κλωστήριον.

ν 353 Νῆϋς: ἡ ναῦς.

ν 354 Νηφαλέος: ὁ σώφρων. καὶ Νηφαλέα θηλυκόν. οἱ νῦν νηφάλιος διὰ τοῦ ἰῶτα.

ν 355 Νηφάλια ξύλα: τὰ μὴ ἀμπέλινα μήτε σύκινα μήτε μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται. ὡς καιόμενα, ὅτε μὴ ὕδωρ, ἀλλὰ οἶνος σπένδεται.

ν 356 Νηφάλιος θυσία παρὰ Ἀθηναίοις ἐτελεῖτο Μνημοσύνῃ, Ἠοῖ, Ἡλίῳ, Σελήνῃ, Νύμφαις, Ἀφροδίτῃ Οὐρανίᾳ· ὥς φησι Πολέμων. καὶ ξύλα δὲ νηφάλια, τὰ μὴ ἀμπέλινα μήτε σύκινα, ἀλλὰ τὰ ἀπὸ τῶν θύμων. καὶ πρώτη ἐστιν αὕτη ὕλη πρὸς τὰς ἐμπύρους θυσίας, παρ’ ὃ καὶ τοὔνομα λαβεῖν τὸν θύμον, ὡς παρὰ τὴν θυμίασιν καὶ τὴν θυὴν πεποιημένης τῆς φωνῆς. εἰσὶ δέ τινες τοπαράπαν ἄσπονδοι θυσίαι, κατὰ τύχην εἰς ἔθος παρελθοῦσαι. Σοφοκλῆς· οὐ γὰρ ἄν ποτε πρώταισιν ὑμῶν ἀντέκυρς’ ὁδοιπορῶν, νήφων ἀοίνοις. πρὸς τὰς Εὐμενίδας λέγων. αἳ ἄοινοι λέγονται, ὡς ἀεὶ νήφουσαι καὶ μὴ μέθην παρέχουσαι. τοῦτο δὲ διὰ τὸ τῆς θείας δίκης ἄϋπνον.

ν 357 Νηφάλιοι θυσίαι: ἐν αἷς οἶνος οὐ σπένδεται, ἀλλὰ ὕδωρ μελίκρατον.

ν 358 Νηφαλισμός: ἡ προσοχή.

ν 359 Νῆφε: γρηγόρει. ἀλλ’ ἔστιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ’ Ἐπιχάρμῳ καλῶς εἰρημένον· νῆφε καὶ μέμνησο ἀπιστεῖν· ἄρθρα ταῦτα 〈τῶν〉 φρενῶν.

ν 360 Νήχεται: κολυμβᾷ. ὡς σμῶ, σμήχω, οὕτω νῶ, νήχω.

ν 361 Νήχυτος ἔρως. ἐπιτατικὸν κἀνταῦθα τὸ νη.

ν 362 Νία: τὰ σχοινία.

ν 363 Νίβα: χιόνα. καλεῖται δὲ οὕτως καὶ κρήνη ἐν Θρᾴκῃ.

ν 364 Νῖβις: πόλις Αἰγύπτου.

ν 365 Νῖγερ: ὄνομα κύριον.

ν 366 Νίγλαροι: τὰ τερετίσματα καὶ περίεργα κρούματα. κροῦμά ἐστι καὶ μέλος μουσικὸν παρακελευστικὸν ὁ νίγλαρος. ἔοικεν ὠνοματοπεποιῆσθαι.

ν 367 Νιγρῆτες: ἔθνος Λιβυκόν.

ν 368 Νιγρῖνος: ὄνομα κύριον. καὶ Νῖγρος.

ν 369 Νιδάριον: παρὰ Πέρσαις τὸ πρὸς κεφαλῇ προσείλημα, ὃ δὴ παρ’ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Κυπρίοις κορδύλη· ὡς Κρέων ἐν τῷ πρώτῳ τῶν Ῥητορικῶν.

ν 370 Νίδες: αἰδοῖα, ἢ ὀρχίδια παιδίων. Σικελοί.

ν 371 Νίζε: νίπτε.

ν 372 Νίζει: ῥύπτει, νίπτει, πλύνει, κλύζει, ἀποσμήχει.

ν 373 Νικαγόρας, Μνησαίου ῥήτορος, Ἀθηναῖος, σοφιστής· γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα. Βίους ἐλλογίμων, Περὶ Κλεοπάτρας τῆς ἐν Τρῳάδι, Πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα.

ν 374

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νίκανδρος, Ξενοφάνους, Κολοφώνιος, κατὰ δέ τινας Αἰτωλός· ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρός, γεγονὼς κατὰ τὸν νέον Ἄτταλον, ἤγουν τὸν τελευταῖον τὸν Γαλατονίκην, ὃν Ῥωμαῖοι κατέλυσαν. ἔγραψε Θηριακά, Ἀλεξιφάρμακα, Γεωργικά, Ἑτεροιουμένων βιβλία ε′, Ἰάσεων συναγωγήν, Προγνωστικὰ δι' ἐπῶν· μεταπέφρασται δὲ ἐκ τῶν Ἱπποκράτους Προγνωστικῶν· Περὶ χρηστηρίων πάντων βιβλία τρία· καὶ ἄλλα πλεῖστα ἐπικῶς.

ν 375 Νικάνωρ, ὁ Ἑρμείου, Ἀλεξανδρεύς, γραμματικός, γεγονὼς ἐπὶ Ἀδριανοῦ τοῦ Καίσαρος, ὅτε καὶ Ἕρμιππος ὁ Βηρύτιος. Περὶ στιγμῆς τῆς παρ' Ὁμήρῳ καὶ τῆς ἐξ αὐτῶν διαφορᾶς ἐν τῇ διανοίᾳ, Περὶ στιγμῆς τῆς καθόλου βιβλία ς′, Ἐπιτομὴν τούτων βιβλίον α′, Περὶ στιγμῆς τῆς παρὰ Καλλιμάχῳ, Κωμῳδούμενα, Περὶ ναυστάθμου, Περὶ τοῦ ὦναξ, Περὶ στιγμῆς· καὶ ἄλλα. ἐφ' ᾗ πραγματείᾳ σκωπτόμενος πρός τινων Στιγματίας ἐκαλεῖτο· οὐ γὰρ δήπου ὡς δοῦλος οὕτως ἐσκώπτετο.

ν 376 Νικάνωρ· τρεῖς γεγόνασι Νικάνορες, ὁ μὲν υἱὸς Βαλάκρου, ἕτερος δὲ Παρμενίωνος, ἄλλος δὲ Σταγειρίτης τὸ γένος· οὗ καὶ Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Δημοσθένους.

ν 377 Νικασία: νησίδιον πλησίον Νάξου.

ν 378 Νικᾷ τὸν ὀνηλάτην: πρὸς τὸν μὴ ἀκούοντα νουθετοῦντος, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν.

ν 379 Νικάτορις: πόλις Συρίας, κτίσμα Σελεύκου τοῦ Νικάτορος.

ν 380 Νίκαια: ὄνομα πόλεως Βιθυνίας· ἐν ᾗ παραρρεῖ καὶ ποταμὸς Φάρνουτις λεγόμενος. Βοττιαίων ἄποικος, αὕτη κληθεῖσα καὶ Ἀντιγόνεια. παρωνόμασται δὲ Νίκῃ τῇ τοῦ Λυσιμάχου γυναικί. ἄλλως δὲ ὁμωνυμεῖ, εἴπερ ἐκείνη ἐκαλεῖτο Νίκαια. ἔστι δὲ καὶ Ἰλλυρὶς Νίκαια καὶ Ἰνδικὴ καὶ Κύρνου τῆς νήσου καὶ Λευκτρικὴ καὶ Κελτῶν καὶ Λοκρῶν Ἐπικνημιδίων καὶ περὶ Θερμοπύλας καὶ Θρᾴκην. ἄνδρες ἐξ αὐτῆς πολλοὶ λόγου ἄξιοι. ἐθνικὸν αὐτῆς Νικαιεὺς καὶ Νικαεύς. εἰ δ' ἔστι, φασί, Νικαῖος, παροξύνεται ἡ ῥηθεῖσα· Νικαία γάρ.

ν 381 Νίκαια· Αἰσχίνης ἐν τῷ Περὶ τῆς παραπρεσβείας. ἔστι δὲ πόλις Λοκρίδος ἐπιθαλαττίδιος.

ν 382 Νικαίην: νίκην. καί ἐστιν ὅμοιον τῷ σελήνη, σεληναία καὶ τοῖς ὁμοίοις.

ν 383 Νίκη: ἡ τοῦ πολέμου.

ν 384 Νίκη Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥοιάν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν πρώτῳ περὶ Ἀκροπόλεως. ᾗ ἀλληγορουμένῃ εἰς φρόνησιν ἐπακολουθεῖ πάντως καὶ τὸ νικᾶν· φρόνησις μὲν γὰρ νικητικόν, ἀφρόνως δὲ μάχεσθαι καὶ προπετῶς σφαλερόν. αὕτη πτερὰ μὲν ἔχουσα τὸ κατὰ νοῦν δηλοῖ ὀξὺ καὶ ὡς εἰπεῖν ὠκύπτερον· ἄπτερος δὲ γραφομένη τὸ κατὰ εἰρήνην ἡσύχιον ἐμφαίνει καὶ πολιτευτικόν, καθ' ὃ τέθηλε τὰ περὶ γῆν, οὗ δὴ ἀγαθοῦ ἔμφασις ἡ κατὰ τὴν δεξίαν ῥοιά, ὥσπερ μάχης τὸ ἐν τῇ ἀριστερᾷ κράνος, ἵνα οὕτω δύναμις εἴη καὶ ἡ Ἀθηνᾶ ὡς τἀναντία ἰσχύουσα.

ν 385 Νικήτας. καὶ Νικήτης, ὄνομα κύριον.

ν 386 Νικήτας: ὄνομα κύριον. Δωρικόν. οὕτω καὶ Φιλήτας καὶ φιλήτης κατὰ Δωριεῖς. βαρύνεται δὲ ἄμφω τὰ κοινὰ πρὸς διαστολὴν ἐπιθέτων τοῦ, ὁ νικητὴς καὶ ὁ φιλητής.

ν 387 Νικήτης: ὄνομα κύριον. ὅτι Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη· Νικήτης ὁ κεκαθαρμένος ἀγνοήσας ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν. παροιμία τοῦτο ἴσως ἐπὶ τῶν ἀσύμβατα συμβιβαζόντων, καὶ μάλισθ' ὅταν σμικρότατα μεγίστοις παραβάλλωμεν.

ν 388 Νικηφόριον: οὕτω, φασίν, ἐκαλεῖτο ἡ περὶ Ἔδεσσαν Κωνστάντεια.

ν 389 Νικίας, Ἀθηναίων στρατηγός. οὗτος Κύθηρα τὴν νῆσον εἷλε καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι. εἰρήνην δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεντηκονταέτη ταῖς πόλεσιν ἐπρυτάνευσεν· ἦν γὰρ εἰρηνικός, ὡς καὶ δειλὸς εἶναι διὰ τοῦτο νομίζεσθαι. ἡ δὲ εἰρήνη ἑβδόμῳ ἔτει διαλύεται, λύσαντος αὐτὴν Ἀλκιβιάδου. στρατεύει δὲ ἐπὶ Σικελίαν σὺν Ἀλκιβιάδῃ καὶ ἡττηθεὶς καὶ νόσῳ νεφρίτιδι συσχεθεὶς ἔγραψε πρὸς Ἀθηναίους, ἢ τὴν οὖσαν μεταπέμψασθαι δύναμιν ἢ ἑτέραν ἀποστέλλειν. καὶ ἀπέστειλαν ὑπὸ στρατηγῷ Δημοσθένει, ὃς καὶ αὐτὸς ἡττήθη. καὶ οἱ μὲν ἔφυγον, οἱ δὲ στρατηγοὶ ἐζωγρήθησαν, καὶ διωχθέντες ἑάλωσαν. Νικίας δὲ καὶ Δημοσθένης αἰχμάλωτοι ἤχθησαν, ἀπέκτειναν δὲ αὐτοὺς οἱ Σικελοί.

ν 390 Νικίου: κώμη περὶ Αἴγυπτον, ταύτης ὁ οἰκήτωρ Νικιώτης.

ν 391 Νικόδημος: ὄνομα κύριον, ὡς καὶ Μενέδημος.

ν 392 Νικόλαος, Μύρων τῆς Λυκίας, ὁ διάπυρος τῶν Χριστιανῶν καὶ ζηλωτὴς ἱερεύς, ὁ πολλὴν ἔχων πρὸς τὸν θεὸν παρρησίαν. οὗτος οὐκ ἔγραψε μέν, ἐν ὀνείροις δ᾽ ἐπιστὰς τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τρεῖς στρατηλάτας ἔκ τινος διαβόλου κατακριθέντας τὴν ἐπὶ θανάτῳ ἐρρύσατο, παράκλησιν δι᾽ εὐχῆς παρ᾽ αὐτῶν δεξάμενος, καὶ ἄλλους δέ τινας στρατιώτας ὁμοίως ἐκ θανάτου ἐξήρπασε· καὶ οὐ παύεται μέχρι τῆς σήμερον τοὺς τὴν πρεσβείαν αὐτοῦ ἐπικαλουμένους ἀπὸ πάσης ἀνάγκης λυτρούμενος.

ν 393 Νικόλαος, Δαμασκηνός, γνώριμος Ἡρώδου τοῦ τῶν Ἰουδαίων βασιλέως καὶ Αὐγούστου Καίσαρος, φιλόσοφος Περιπατητικὸς ἢ Πλατωνικός. ἔγραψεν Ἱστορίαν καθολικὴν ἐν βιβλίοις π′, καὶ τοῦ βίου Καίσαρος ἀγωγήν. οὕτως δὲ ἠσπάσατο αὐτὸν ὁ Καῖσαρ, ὡς τοὺς ὑπ᾽ ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι, ἤγουν μελιττούτας, Νικολάους αὐτὸν καλεῖν. καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς. οὗτος ὁ Δαμασκηνὸς ἐν τῇ ἄλλῃ παιδείᾳ τεθραμμένος διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιστα σπουδάσαι, ἐπειδὴ ἀπ᾽ αὐτῆς αὐτῷ ὅ τε πλοῦτος καὶ ἡ δόξα ὑπεγένετο, ἔτι μᾶλλον ηὔξησε ταύτην ἔρωτά τινα ἀδιήγητον αὐτῆς σχών, ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος, ὥστε πρὶν γενειᾶν, εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι καὶ τῶν ἡλίκων διαφέρειν· γραμματικῆς τε γὰρ οὐδενὸς χεῖρον ἐπεμεμέλητο καὶ δι᾽ αὐτὴν ποιητικῆς πάσης, αὐτός τε τραγῳδίας ἐποίει καὶ κωμῳδίας εὐδοκίμους· ἔτι μᾶλλον ὕστερον αὐξηθείς, ὥστε καὶ τὴν δύναμιν συναυξῆσαι ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας πάσης. ζηλωτὴς γὰρ Ἀριστοτέλους γενόμενος καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι πολὺ μὲν ἔχουσι τὸ ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιστα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. ἔλεγε δὲ καὶ τὰς Μούσας ἄρα διὰ τοῦτο πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον ἔχει τὰ παιδεύματα καὶ πρὸς πᾶσαν βίου χρῆσιν οἰκεῖον· καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλὰ τοὐναντίον ἐπονείδιστον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιστήμην. οὗτος μὲν οὖν οὐκ ἔστιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο, οὐδὲ ἐκαπήλευσεν. ἔφη δὲ Νικόλαος ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ. ὡς γὰρ ἐν ταύτῃ προσσυμβαίνει τοῖς ἀποδημοῦσι καὶ μακρὰν ὁδὸν διεξιοῦσιν ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δ᾽ ἐναριστᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν, ἐν οἷς δ᾽ ἐπ᾽ ἔλαττον· καὶ τὰ μὲν ὅλα, τὰ δὲ ἐκ μέρους, τὰ δὲ ἄχρι στοιχειώσεως παραλαμβάνειν καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἐλθόντας φιλοσοφεῖν.

ν 394

Νικόλαος, ῥήτωρ, γνώριμος Πλουτάρχου καὶ Πρόκλου (Πλουτάρχου δὲ λέγω τοῦ ἐπίκλην Νεστορίου). ἔγραψε προγυμνάσματα καὶ μελέτας ῥητορικὰς καὶ ἄλλα τινά. ἤκμαζεν ἐπὶ Λέοντος βασιλέως τοῦ πρεσβύτου καὶ ἕως Ζήνωνος καὶ Ἀναστασίου.

ν 395 Νικόλαος, Μύρων τῆς Λυκίας, ἀδελφὸς Διοσκορίδου γραμματικοῦ καὶ ὑπάρχου καὶ ὑπάτου καὶ πατρικίου· σοφιστεύσας καὶ αὐτὸς ἐν Κωνσταντινουπόλει, μαθητὴς γεγονὼς Λαχάρους. ἔγραψε τέχνην ῥητορικὴν καὶ μελέτας.

ν 396 Νικόμαχος, Ἀλεξανδρεὺς τῆς Τρωϊκῆς, τραγικός, γράψας τραγῳδίας ιαʹ, ὧν καὶ αἵδε· Ἀλέξανδρος, Ἐριφύλη, Γηρυόνης, Ἀλετίδης, Εἰλείθυια, Νεοπτόλεμος, Μυσοί, Οἰδίπους, Πέρσις, Πολυξένη, Τριλογία, Μετεκβαίνουσαι, Τυνδάρεως ἢ Ἀλκμαίων, Τεῦκρος.

ν 397 Νικόμαχος, Ἀθηναῖος, τραγικός· ὃς παραδόξως Εὐριπίδην καὶ Θέογνιν ἐνίκησε. τῶν δραμάτων ἐστὶν αὐτοῦ Οἰδίπους.

ν 398 Νικόμαχος, Σταγειρίτης, φιλόσοφος, υἱὸς μὲν Ἀριστοτέλους τοῦ φιλοσόφου, μαθητὴς δὲ Θεοφράστου, ὡς δέ τινες καὶ παιδικά. ἔγραψεν Ἠθικῶν βιβλία ϛʹ, καὶ περὶ τῆς φυσικῆς ἀκροάσεως τοῦ πατρὸς αὐτοῦ.

ν 399 Νικόμαχος, ἰατρός, καὶ αὐτὸς Σταγειρίτης, Μαχάονος τοῦ Ἀσκληπιοῦ υἱός· ἐξ οὗ κατήγετο Νικόμαχος, ὁ πατὴρ Ἀριστοτέλους τοῦ φιλοσόφου, καὶ αὐτὸς ἰατρός. ἔγραψεν ἰατρικῶν βιβλία ϛʹ, καὶ φυσικῶν αʹ.

ν 400 Νικομήδεια: πόλις. ἡ καὶ Ὀλβία ποτε κληθεῖσα· παρωνόμασται δέ φασι Νικομήδει τῷ τοῦ Ζιήλα παιδί· ἐξ ἐκείνου δὲ διὰ τὸ καὶ αὐτοῦ καὶ τῆς κατ᾽ αὐτὸν πόλεως διάσημον ἐκαλεῖτο, καὶ οἱ μετ᾽ αὐτὸν Νικομηδεῖς, καθὰ καὶ ἀπὸ τοῦ πρώτου Φαραὼ οἱ μετ᾽ ἐκεῖνον τοῦ αὐτοῦ ἐκληρονόμουν ὀνόματος· δοκεῖ δὲ τῆς Νικομηδείας παρώνυμον εἶναι καὶ τὸ ἐν Βιθυνίᾳ Νικομήδειον ἐμπόριον αὐτὸ Βιθυνίας· οὗ τοπικὸν οὐ μόνον Νικομηδεύς, ἀλλὰ δύναται φασὶ εἶναι καὶ Νικομηδειεύς. ἦν δὲ τῆς Νικομηδείας πολίτης ὁ περιώνυμος ῥήτωρ Ἀρριανός. καὶ Νικομηδὶς ναῦς.

ν 401 Νικομήδης: κύριον. ζήτει ἐν τῷ περὶ ἀφύης.

ν 402 Νικόπολις· καὶ Νικοπολίτης, ὁ ἀπὸ τῆς αὐτῆς πόλεως. τρεῖς αὗται περιφέρονται, ἡ τῆς Ἠπείρου, ἡ τῆς Βιθυνίας καὶ ἡ κατὰ Ἀρμενίαν.

ν 403 Νικοσθένης: ὄνομα κύριον.

ν 404 Νικόστρατος, Μακεδών, ῥήτωρ. ἐτάχθη δὲ ἐν τοῖς κριθεῖσιν ἐπιδευτέροις δέκα ῥήτορσι· σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου· ἦν γὰρ ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε Δεκαμυθίαν, Εἰκόνας, Πολυμυθίαν, Θαλαττουργοὺς καὶ ἄλλα πλεῖστα· καὶ ἐγκώμια εἴς τε τὸν Μάρκον καὶ ἄλλους.

ν 405 Νικόστρατος, κωμικός. τούτου μέμνηται Ἀθήναιος ἐν βʹ Δειπνοσοφιστῶν· λέγει δὲ ὅτι δράματα αὐτοῦ ἐστι Πάνδαρος, ὃς καὶ Ἄντυλλος· ὃς καὶ Φιλεταίρου δοκεῖ εἶναι· καὶ Ἱεροφάντης καὶ Κλεινή· ἔτι δὲ Ἅβρα καὶ Ἡσίοδος καὶ Διάβολος καὶ Ἀντερῶσα καὶ Ἑκάτη, Μάγειρος, Ὦτης, Πλοῦτος, Σύρος, Ἀπελαυνόμενος, Ψευδοστιγματίας καὶ Τοκιστής. ταῦτα ἐν παραθήκῃ εὗρον κείμενα. καὶ παροιμία· ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον. οὗτος κωμῳδίας ἦν ὑποκριτὴς δοκῶν κάλλιστα ὑποκρίνεσθαι.

ν 406 Νικόφρων, Θήρωνος, Ἀθηναῖος, κωμικός, σύγχρονος Ἀριστοφάνους τοῦ κωμικοῦ. τῶν δραμάτων αὐτοῦ καὶ ταῦτα· Ἐξ ᾅδου ἀνιών, Ἀφροδίτης γοναί, Πανδώρα, Ἐγχειρογάστορες, Σειρῆνες.

ν 407 Νικοχάρης, Φιλωνίδου τοῦ κωμικοῦ, Ἀθηναῖος, κωμικός, σύγχρονος Ἀριστοφάνους. τῶν δραμάτων αὐτοῦ Ἀμυμώνη, Πέλοψ, Γαλάτεια, Ἡρακλῆς γαμῶν, Ἡρακλῆς χορηγός, Κρῆτες, Λάκωνες, Λήμνιαι, Κένταυροι, Χειρογάστορες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν 408 Νικῷεν καὶ Νικῴη: εὐκτικά. ἐκ τῆς νικάοιμι, νικῷμι τροπῇ τῆς μι εἰς ην λόγῳ μεταπλασμοῦ· τοιοῦτον καὶ τὸ περιπατοίην, γνοίην, δοίην, βοῴην καὶ ἄλλα μυρία.

ν 409 Νικῶ· αἰτιατικῇ, νικῶμαι δὲ γενικῇ.

ν 410 Νίκων· οὗτος πὺξ καὶ πάλην καὶ παγκράτιον καὶ δρόμον καὶ τἄλλα ἐν Ὀλυμπίᾳ καὶ Νεμέᾳ καὶ Ἰσθμοῖ καὶ ἄλλοις ἀγῶσι νικήσας ἔλαβε στεφάνους, ὥς φασι, χιλίους καὶ υ′. ἀπελθόντος δὲ αὐτοῦ ἐξ ἀνθρώπων, τῶν ἀπεχθανομένων τις ὡς ζῶντι αὐτῷ παρεγένετο ἐπὶ τὴν εἰκόνα αὐτοῦ καὶ ἐμαστίγου αὐτήν· ἐς ὃ πεσοῦσα ἐκείνη ἠμύνατο τὸν ὑβριστήν. τοῦ δὲ οἱ παῖδες ἐπεξῄεσαν φόνου ἐπὶ τῇ εἰκόνι, καὶ οἱ Θάσιοι καταποντοῦσιν αὐτὴν κατὰ νόμον Δράκοντος Ἀθηναίου, ὑπερορίζοντος φονεύοντα καὶ τὰ ἄψυχα. ταύτην δὲ ἡ Πυθία ἔχρησε κακῶς Θασίοις πράττουσιν ἀνενεγκεῖν. ἀπορούντων δὲ τῶν ἁλιέων περὶ τῆς ἀναγωγῆς, τὰ δίκτυα χαλάσαντες ἐπὶ ἰχθῦς ἀνήνεγκον τὴν εἰκόνα. καὶ ἔστησαν αὐτὴν οἱ Θάσιοι ὅθι καὶ πρῶτον ἦν.

ν 411 Νικωνία: πόλις ἐν τῷ Πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου.

ν 412 Νικυρίς: ὄνομα τόπου.

ν 413 Νίν: αὐτάς. Εὐμενίδας ὅ γ’ ἐνθάδ’ ὢν εἴποι λεώς νιν. Σοφοκλῆς· σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς τοὖργον, τὰ δ’ ἔργα τοὺς λόγους εὑρίσκεται. καὶ σύ μ’ ἐξ ὁδοῦ πόδα κρύψον κατ’ ἄλσος, τῶνδ’ ἕως ἂν ἐκμάθω τίνας λόγους ἐροῦσι.

ν 414 Νίναια: πόλις Οἰνωτρῶν ἐν τῇ μεσογαίᾳ. ὁ πολίτης Ναιαῖος ἢ Νιναιεύς.

ν 415 Νινευί: πόλις. καὶ Νινευίτης, ὁ ἀπὸ τῆς αὐτῆς πόλεως.

ν 416 Νινόη: ἡ ἐν Καρίᾳ Ἀφροδισιὰς οἰκισθεῖσα ὑπὸ Πελασγῶν Λελέγων· διὸ καὶ ἐκλήθη Λελέγων πόλις, μετὰ δὲ Μεγάλη πόλις. εἶτα ἀπὸ Νίνου Νινόη. ἐθνικὸν αὐτῆς Νινοήτης.

ν 417 Νῖνος: πόλις Ἀσσυρίων αὕτη, ἣν ἔκτισε Νῖνος, ἀνὴρ Σεμιράμιδος, ἐν τῇ Ἀτουρίᾳ. ἐθνικὸν Νίνιος. χρῆσις τούτου παρὰ Ἡροδότῳ ἐν τῷ, κατὰ τὰς Νινίων καλεομένας πύλας.

ν 418 Νιόβη: ὄνομα κύριον.

ν 419 Νίπτω· αἰτιατικῇ.

ν 420 Νιρεύς: ὁ καλὸς καὶ εὔμορφος. Νειρεύς, ὁ κόχλος, Νηρεύς, ὁ θαλάσσιος.

ν 421 Νίσα: πόλις.

ν 422 Νισαία: πόλις.

ν 423 Νισαία ἐκαλεῖτο καὶ αὐτὴ ἡ Μεγαρὶς ὅλη ἀπὸ Νίσου τοῦ Πανδίονος. Ἑλλάνικος· Νισαῖάν θ’ εἷλε καὶ Νίσον τὸν Πανδίονος καὶ Μεγαρέα τὸν Ὀγχήστιον. ἤγουν τὸν ἀπὸ Ὀγχηστοῦ, πόλεως Βοιωτίας.

ν 424 Νισαία: τῆς Μεγαρίδος νεώριον.

ν 425 Νίσαιον: τόπος Περσίδος, ἔνθα ἵπποι ὤκιστοι γίνονται, Νισαῖοι λεγόμενοι. οἱ δέ, ὅτι πεδίον μέγα τῆς Μηδικῆς, τῷ οὔνομά ἐστι Νίσαιον. τοὺς οὖν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. καὶ Νισαῖος, ὄνομα κύριον· καὶ ὁ πολίτης, καὶ ὁ ἵππος. σημείωσαι οὖν, ὅτι ἔσφαλται ἀληθῶς παρὰ τῷ ἀναγραψαμένῳ τὰ ἐθνικά, τὸ Νισαῖον πεδίον καὶ οἱ Νισαῖοι ἵπποι παραδεδομένα διὰ τοῦ η γράφεσθαι.

ν 426 Νίσιβις, Νισίβεως. ὄνομα πόλεως. καὶ Νισιβηνός, ὁ πολίτης. τύπῳ δηλαδὴ τῶν περὶ Εὐφράτην καὶ ἕω, Αἰγυπτιστὶ δὲ καὶ Λιβυστὶ Νισιβίτης. εἰδέναι δὲ χρῆ ὡς τὴν Νίσιβιν πόλιν ἐν τῇ περαίᾳ τῇ πρὸς τῷ Τίγριδι ποταμῷ Φίλων μὲν Νάσιβιν γράφει διὰ τοῦ α δηλοῦσαν τὰς στήλας, Οὐράνιος δὲ Νέσιβιν σημαίνουσαν Φοινίκων φωνῇ λίθους συμφορητούς.

ν 427

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νισσόμενος: ἀναστρεφόμενος. καὶ Νίσοντο, ἀνεστρέφοντο. ἐκ τοῦ νεΐω φασι, τὸ πορεύομαι· οὗ ὁ μέλλων νεΐσω· ἄλλως γὰρ ὡς ἐκ τοῦ νέω ἡ ει δίφθογγος ἐν τούτοις παρρησιάζεται· εἰκὸς δὲ καὶ ἐκ τῶν δύο σς πλεονάζεσθαι.

ν 428 Νίσος: ὄνομα κύριον. Νίσῳ δ’ ἔλαχεν ἡ Μεγαρίς.

ν 429 Νίσυρος: νῆσος μία τῶν Κυκλάδων ἡ καὶ Πορφυρὶς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρίων. σύγκειται παρὰ τὸ νῶ, τὸ νήχομαι, καὶ τὸ σύρω. ἐπεσύρη γάρ, φασί, Πολυβώτῃ τῷ Γίγαντι μέγιστον τμῆμα τῆς Κῶ νήσου, χόλῳ Διὸς πλήξαντος Ποσειδῶνος τριαίνῃ, ἣν Ποσειδῶν ἐπ’ αὐτὸν ἀφεὶς τοῦ μὲν ἥμαρτε, τῆς δὲ Κῶ πολύ τι ἀποτεμὼν τῇ βολῇ τῆς τριαίνης ἐπικατέστρεψε τῷ Γίγαντι τὸ τμηθὲν καὶ εἰς νῆσον ἀπετέλεσε. δοκεῖ δὲ πεπλάσθαι ὁ μῦθος παρὰ τὴν ἐγγύτητα τῆς Νισύρου πρὸς τὴν Κῶ καὶ τὴν ὡς πρὸς ἐκείνην σμικρότητα. φέρει δὲ ἀγαθὸν οἶνον ἡ Νίσυρος.

ν 430 Νιτάριον καὶ Βιτάριον: ὑποκοριστικὰ πρὸς γυναῖκας· νιτάριον, οἷον νεόττιον, τουτέστι κοράσιον. Σύμμαχος δέ φησι, Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος καὶ Βάτος. καὶ τὰς μικρὰς καὶ θηλείας βατύλας ἔλεγον· καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. οἱ δέ φασιν εἴδη φυτῶν. θέλει οὖν εἰπεῖν, ὅτι ὡς ἄνθη εἶχεν. Ἀριστοφάνης· νὴ Δί’, εἰ λυπουμένην γ’ αἰσθάνοιτό με, νιτάριον καὶ βιτάριον ὑπεκορίζετο.

ν 431 Νιτάριος: ὄνομα κύριον.

ν 432 Νιτέρειον: ἀκρωτήριον.

ν 433 Νῖτιν· πᾶσαν διοχλεῖσθαι γυναῖκα νῖτιν.

ν 433a Νίτωκρις: ὄνομα κύριον. Περσὶς αὕτη γυνὴ περιώνυμος.

ν 434 Νιτρία: τόπος.

ν 435 Νίτρον.

ν 436 Νίφα λευκήν: ἀπὸ Κέκροπος ἡ λέξις· νιφάδα γὰρ φαμὲν ἐντελῶς.

ν 437 Νιφάδες: σταγόνες.

ν 438 Νιφάτης: ὄρος Ἀρμενίας. Ταύρου πρυμνώρειαν, ἐΰσκόπελόν τε Νιφάτην.

ν 439 Νιφετός: ἡ κατάλεπτος καταφερομένη χιών. τέσσαρές εἰσι πήξεις τῆς ἐν τῷ ἀέρι ὑδατώδους πήξεως ὑγρότητος· ὑπὲρ γῆν μὲν ἄνω, ἐπ’ ἔλαττον μὲν χιών, ἐπὶ πλέον δὲ χάλαζα· ἐπὶ γῆς δὲ κάτω, ἐπ’ ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύσταλος· ὁ δὲ νιφετὸς πῆξις οὐκ ἔστιν, ἀλλὰ μᾶλλον περὶ τὴν ἀλλοίαν χροιὰν ἡ ποιότης αὕτη. ἅτε τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης, καὶ ἀδύνατον ὂν αὐτοῖς ἄνευ κρυμώδους καταστήματος βιοτεύειν. καὶ αὖθις· ἐς δέ ς’, ἄνασσα, τοίην χὼ νιφόεις κρυμὸς ὀπωροφορεῖ.

ν 440 Νίφει: χιονίζει. καὶ ἔπεα νιφάδεσσιν ἐοικότα. καὶ Νιφόμενος, χιονιζόμενος.

ν 441 Νιφοστιβεῖς: δίυγροι. καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.

ν 442 Νίψα: πόλις Θρᾴκης, παρὰ Ἡροδότῳ.

ν 443 Νόαι: πόλις Σικελίας, ἧς ὁ πολίτης Νοαῖος.

ν 444 Νόημα: ἐφεύρεμα. τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ’ ἐμόν. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ. ὅτι ἡ μὲν θεὸς ὑπέβαλεν, ἥρπασα δὲ ἐγώ.

ν 445 Νοήμονος.

ν 446 Νοητά: τὰ μὴ αἰσθητά, τὰ μὴ ὁρατά.

ν 447 Νοθεύει: ἀπατᾷ, ἀπαλλοτριοῖ. ζήτει μαρτυρίαν ἀκριβεστάτην τῆς νοθεύσεως τῶν θείων γραφῶν ἐν τῇ τοῦ μακαρίτου Λογοθέτου μεταφράσει τῇ εἰς τὸ μαρτύριον τοῦ ἁγίου Λουκιανοῦ· φησὶ γὰρ οὑτωσί· ὁ θεῖος τοίνυν οὗτος Λουκιανὸς καὶ τὰς ἱερὰς βίβλους ἰδὼν πολὺ τὸ νόθον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσδεξαμένας, τοῦ τε χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς καὶ τῆς συνεχοῦς ἀφ' ἑτέρων εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καί τινων ἀνθρώπων πονηροτάτων, οἳ τοῦ Ἑλληνισμοῦ προεστήκεσαν, παρατρέψαι τὸν ἐν αὐταῖς νοῦν πειρασαμένων καὶ πολὺ τὸ κίβδηλον ἐν ταύταις σπειράντων, αὐτὸς ἁπάσας ἀναλαβὼν ἐκ τῆς Ἑβραΐδος ἀνενεώσατο γλώττης, ἣν καὶ αὐτὴν ἠκριβωκὼς ἐς τὰ μάλιστα ἦν, πόνον τῇ ἐπανορθώσει πλεῖστον εἰσενεγκάμενος.

ν 448 Νοθεία: ἡ λαθραία γέννα, ἡ πορνεία. Νοθεῖα, τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτως καλεῖται· ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτως Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

ν 449 Νόθος: ὁ ξένος. θεῖόν τι τὸ γνήσιον ἐν τοῖς κατ' ἀνθρώπων τόκοις. διόπερ ὁ μὴ τοῦτ' ἔχων νόθος, οἷα ἐστερημένος τοῦ θείου· παρὰ τὴν νο στερητικήν. ἐντεῦθεν δὲ νόθα καὶ τὰ ἁπλῶς ξένα μεταφορικῶς.

ν 450 Νομάδες: βοσκόμεναι ἀγέλαι. καὶ ἔθνη Σκυθικά. νομάδεσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων. Ἀριστοφάνης. ἐπὶ τῶν παρενοχλούντων καὶ ἐπιμενόντων. ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐφ' ἁμαξῶν τὰ πράγματα βάλλοντες ἀπαιροῦσιν εἰς ἄλλην χώραν. ὁ δὲ μὴ ἔχων ἐκεῖσε ἅμαξαν, ἄτιμος παρ' αὐτοῖς κρίνεται. φησὶν οὖν καὶ οὗτος ἐνοχλούμενος. τοῦτό φησι, νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ. Ἀριστοφάνης. ὁ δὲ Σάκας οὗτος τραγῳδίας ἦν ποιητής· οὕτω δὲ ἐκαλεῖτο διὰ τὸ ξένος εἶναι. ἴσως δὲ καὶ βάρβαρος· οἱ γὰρ Σάκαι βάρβαρον ἔθνος, ἐξ ὧν τὰ σάκη κατά τινας. ὁ αὐτὸς Ἀριστοφάνης· ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται· ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι, ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενός, ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν. τουτέστι παντὶ σθένει.

ν 451 Νομαδίτης: ὁ ἰδιώτης βίος.

ν 452 Νομάδων: ἀγρίων, βαρβάρων. οἱ λεγόμενοι Ἁμαξοφόρητοι ἢ Ἁμαξόβιοι.

ν 453 Νομαντία, ἡ καὶ Νουμαντία, πόλις Ἰβηρίας παρὰ Ἰόβᾳ.

ν 454 Νόμβα: πόλις Ἰουδαίας, παρὰ Ἰωσήπῳ ἐν Ἀρχαιολογίᾳ.

ν 455 Νομάρχαι: οἱ κατὰ τέλη τῆς χώρας ἄρχοντες παρ' Αἰγυπτίοις· οἳ ἦσαν ἐπὶ Πτολεμαίου τοῦ μετὰ Ἀλέξανδρον τὸν Φιλίππου.

ν 456 Νομᾶς: ὄνομα κύριον. ὁ Ῥωμαίων νομοθέτης.

ν 457 Νομαί: μερισμοί.

ν 458 Νομαία: ἡ ἐκ τῆς νομῆς. ἐν Ἐπιγράμμασι· καί σοι ἐπιρρέξει χιμάροιο νομαίης αἷμα.

ν 459 Νομεύς: ποιμήν, βοσκός.

ν 460 Νομή: ὁρμὴ πυρός. τὴν νομὴν τοῦ πυρὸς ἐνεργὸν συνέβη γενέσθαι καὶ πρακτικήν.

ν 461 Νομιζόμενα: νόμιμα, ἢ ὑπολαμβανόμενα. Ἀριστοφάνης· οὐκοῦν τὰ νομιζόμενα τούτων λαμβάνεις. ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν δέρματα καὶ κωλαῖ.

ν 462 Νομίζουσιν: ἀντὶ τοῦ νομίσματι χρῶνται.

ν 463 Νομίζουσι: καὶ ἀντὶ τοῦ ἡγοῦνται. ἥνπερ μεγίστην τιμὴν παρὰ βασιλέως ἐς ἰδιώτας νομίζουσι.

ν 464 Νομίζω· αἰτιατικῇ.

ν 465 Νόμιον: δίκαιον. καὶ Νόμιον μέλος, τὸ ἐν τῇ νομῇ ᾀδόμενον.

ν 466 Νόμισμα: δύο σημαίνει· τὸ νόμιμον ἔθος· ὡς Ἀριστοφάνης ἐν Νεφέλαις, ἡμῖν νόμισμ' οὐκ ἔστι· καὶ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ. λεπτῷ δὲ νομίσματι ἐχρῶντο οἱ Βυζάντιοι.

ν 467

Νομιστευομένων: νομίμως διοικουμένων. ἐνέβαλε δὲ χρυσοῦς ἐπισήμους, εἴς τινας δὲ τετράδραχμα, 〈τῶν〉 ἐπιφανῶς νομιστευομένων. καὶ αὖθις· χαλκοῦ τοῦ ἐν Ἀλεξανδρείᾳ νομιστευομένου τάλαντα τετρακισχίλια.

ν 468 Νομίτωρος: ὄνομα κύριον.

ν 469 Νομογράφοι: παρὰ Ῥωμαίοις τριακοσιοστῷ πρώτῳ ἐνιαυτῷ μετὰ τὸν συνοικισμὸν τῆς πόλεως παραλυθείσης τῆς τῶν ὑπάτων ἀρχῆς δέκα νομογράφοι τὴν τῶν κοινῶν ἐπιτρέπονται προστασίαν· οἳ χρόνον δή τινα πρὸς τὸ λυσιτελὲς καὶ ἡδὺ τῶν πολιτῶν ἐξηγούμενοι μέτριοί τε ἐδόκουν καὶ ἄρχειν μάλιστα πάντων ἐπιτήδειοι· οὗτοι γάρ που καὶ τὰς δέκα δέλτους ἐπιχωρίοις τε καὶ Ἑλληνικοῖς νόμοις ἀναγράψαντες εἰς τὰς καλουμένας κύρβεις ἀνέθηκαν. δευτέρῳ δὲ ἔτει τῆς ἡγεμονίας βαρύτητος τυραννικῆς αἰτίαν ἀπενεγκάμενοι διελύθησαν, Ἀππίου μάλιστα τὸ πλῆθος εἰς ἀπέχθειαν τῆς δεκαρχίας κινήσαντος· ὃς Οὐερηνίου τινος ἀνδρὸς οὐκ ἀσήμου τὰ πολεμικὰ θυγατέρα φθεῖραι παρθένον ἐπενόει, ἔρωτι γεγονὼς θερμῷ τῆς κόρης κατάσχετος· ἣν ὁ πατὴρ αὐτοχειρὶ διεχρήσατο δείσας τὴν τοῦ Ἀππίου δυναστείαν αἰσχῦναι τὴν κορὴν πρὸς βίαν ὡρμημένου. ἐφ’ ᾧ κινηθὲν τὸ στρατιωτικὸν ἅπαν ἀφείλετο τοὺς δέκα τὰ τῆς ἐξουσίας δίκας τε ἀποτῖσαι τῶν κατὰ τὴν ἀρχὴν πεπλημμελημένων ἠνάγκασε.

ν 470 Νομοθεσία: θέσις νόμου.

ν 471 Νομοθέται: τοπάλαι Μωϋσῆς, μετέπειτα δὲ ὁ Χριστός.

ν 472 Νομοθέται: παρ’ Ἀθηναίοις πρῶτος ἐγένετο Δράκων καὶ μετ’ αὐτὸν Σόλων καὶ μετὰ τοῦτον Θαλῆς καὶ μετὰ τοῦτον Αἰσχύλος.

ν 473 Νόμοι κιθαρῳδικοί· Ἀπόλλων, φασί, μετὰ λύρας κατέδειξε τοῖς ἀνθρώποις νόμους, καθ’ οὓς ζήσονται, πραΰνων τε ἅμα τῷ μέλει τὸ κατ’ ἀρχὰς ἐν αὐτοῖς θηριῶδες καὶ εὐπρόσιτον τῇ τοῦ ῥυθμοῦ ἡδύτητι ποιῶν τὸ παραγγελλόμενον· καὶ ἐκλήθησαν ἐκεῖνα νόμοι κιθαρῳδικοί. ἐκεῖθεν δὲ σεμνολογικῶς, ὡς καὶ Ἀριστοτέλει δοκεῖ, νόμοι καλοῦνται οἱ μουσικοὶ τρόποι, καθ’ οὓς ᾄδομεν.

ν 474 Νομοΐστορες: νομομαθεῖς.

ν 475 Νομοθετῶ· δοτικῇ. καὶ αἰτιατικῇ· νομοθέτησόν με, κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου.

ν 476 Νομόν: νομήν, βοσκήν.

ν 477 Νόμος καὶ Ἰαννουάριος ἐπιεικίᾳ καὶ δικαιοσύνῃ τῶν πολιτῶν ὑπερφέροντες, οἶμαι, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων ἀνθρώπων τῶν γε νῦν ζώντων καὶ ἐν πράγμασι πολιτικοῖς ἀναστρεφομένων, ἐπῃνοῦντο καὶ ἠγαπῶντο πρός τε ἀστῶν καὶ ξένων· τῇ τε γὰρ πατρίδι χρησιμώτατοι γεγόνασι καὶ δεξιώτατοι πρὸς τοὺς ξένους. ἑλόμενοι τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἐλαττοῦσθαι μᾶλλον ᾑροῦντο τὰ οἰκεῖα ἢ πλέον τι ἔχειν ἀπὸ τῶν ἀλλοτρίων. κοινὰ μὲν οὖν ταῦτα αὐτοῖς· ἰδίᾳ δὲ ὁ μὲν Νόμος εὐφυέστερος ἦν καὶ φιλομαθέστερος ἐν λόγοις, τοῖς τε φιλοσοφίας ἀπογεύεσθαι βουλομένοις καὶ ὅσοι προπαιδεύουσι τοὺς νέους. ἦν δὲ καὶ κριτικώτατος τῶν καθ’ ἡμᾶς ἐλλογίμων ἀνδρῶν, ποιημάτων τε πάντων καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας. ὡς γοῦν φάναι τὸ ὅλον, οὔτε Σεβηριανὸν οὔτε Ἀγάπιον τὸν φιλόσοφον εἴποιμι ἂν γενέσθαι τοιούσδε περὶ λόγων κρίσιν. ὁ δὲ Ἰαννουάριος ἐμπειροπράγμων ἦν καὶ φρόνιμος ἐν τοῖς πολιτικοῖς ἐπὶ πλέον ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος, ἔτι δὲ σωφρονέστερος καὶ τὰ ἄλλα μᾶλλον τεταγμένος.

ν 478 Νόμος: ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων ταύτην καὶ ῥυθμὸν ὡρισμένον. ἦσαν δὲ ἑπτὰ οἱ ὑπὸ Τερπάνδρου, ὧν εἷς ὄρθιος, τετράδιος, ὀξύς. Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ λέξει, καὶ Ῥωμαῖοι παρατρέψαντες νοῦμμον λέγουσιν. Ἀττικοὶ τὰ διανενεμημένα

μέρη τῆς γῆς, ὡς καὶ ἐν Αἰγύπτῳ. καὶ τὸ δίκαιον ἔγγραφον. ὅτι Δαρεῖος εἶχε νόμον, τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν.

ν 479 Νομός: καὶ ἡ βοσκή, καὶ ὁ τόπος.

ν 480 Νόμος: θεσμός, συνήθεια. Νόμος παρὰ Σοφοκλεῖ ἡ φύσις τοῦ γεγεννηκότος καὶ τὸ ἔθος. Νόμος καὶ ἡ ἱστορία. ὁ Ἀπόστολος· ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον οὐκ ἀκούετε. ὅτι τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἄν, εἰ ὁρισαίμεθα αὐτὸν ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ τῶν χρωμένων.

ν 481 Νόμος: τρία σημαίνει· ὁ μὲν γὰρ δίχα γραμμάτων διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις· τὸ γὰρ ἀόρατον τοῦ θεοῦ τοῖς ποιήμασι νοούμενον καθορᾶται. καὶ πάλιν· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, οὗτοι ἑαυτοῖς εἰσι νόμος. καὶ ὁ ἐν γράμμασι διὰ Μωσέως τῶν παραβάντων χάριν παρεσχημένος. καὶ τρίτος ὁ διὰ τῆς χάριτος· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

ν 482 Νόμος Ἰουστινιανοῦ· ζήτει ἐν τῷ Πρίσκος.

ν 483 Νόμος· ζήτει ἐν τῷ πλαξί. νόμου καὶ ἔθους διαφορά, ἐν τῷ ἔθος.

ν 484 Νόμος: πολυώνυμός ἐστιν ἡ λέξις. καὶ Νόμος μέν, ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων καὶ διατάττων· μαρτύρια δέ, ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς· δικαιώματα δέ, ὡς διδάσκων τὸ δίκαιον καὶ ἀπαγορεύων τὸ ἄδικον καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους· ἐντολὴ δέ, ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς· κρίματα δέ, ὡς τὰς ψήφους ὑποδεικνὺς καὶ διδάσκων, τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσι δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται.

ν 485 Νόμος κατὰ τὸν Ἀπόστολον σημαίνει δʹ· ὁ τοῦ θεοῦ· περὶ οὗ φησι· συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ. καὶ ὁ ἀντιστρατευόμενος. τρίτος, περὶ οὗ φησι· τῷ νόμῳ τοῦ νοός μου. τέταρτος, περὶ οὗ λέγει· τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ὅτι τοὺς τοῦ Σόλωνος νόμους ἄξονας Ἀθηναῖοι ἐκάλεσαν διὰ τὸ ἐγγραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα, κατὰ δέ τινας μᾶλλον τρίγωνοι.

ν 486 Νόμος καὶ χώρα: διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι.

ν 487 Νομοφύλακες: ἀρχή τις παρὰ Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

ν 488 Νομοφυλακίου θύρα: δι’ ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται.

ν 489 Νόνναι: τοῦ μηνός. αἱ εὐθὺς μετὰ τὰς καλάνδας, ἤγουν μετὰ τὴν πρώτην τῆς νουμηνίας, δευτέρα δηλαδὴ τοῦ μηνός. μεθ’ ἃς νόννας αἱ εἰδοί. δοκοῦσι δὲ παρ’ αὐτὰς γενέσθαι αἱ ἀνόνναι, ὡς οἷον αἱ ἀνὰ τὰς νόννας διδόμεναι. ἰστέον δὲ ὡς ἔστι καὶ Νόννος κύριον, Πανοπολίτης, ἐξ Αἰγύπτου, λογιώτατος· ὁ καὶ τὸν παρθένον Θεολόγον παραφράσας δι’ ἐπῶν.

ν 490 Νοσηλεύεσθαι: νοσεῖν οὐκ ἐπαχθῶς.

ν 491 Νοσηλεύω: νοσοῦντα θεραπεύω.

ν 492 Νοσηλεία: ἀσθένεια· Νοσήλια δὲ φάρμακα.

ν 493 Νοσοκομεῖον: ὁ ξενών. ἵνα ᾖ τὸ νόσον ἔχειν, ἀντὶ τοῦ πάθος ἢ ἔθος τι ἔχειν· νοουμένης τῆς νόσου ἀντὶ οὐδετέρου τοῦδέ τινος.

ν 494 Νόσον ἔχειν: ἀντὶ τοῦ φαῦλον ἔθος ἔχειν. Εὐριπίδης Ἀντιόπη. Νόσος λεγόμενον ἐγκατασκῆψαι· πρὸς τὸ σημαινόμενον ἡ σύνταξις, πρᾶγμα δηλονότι. παρὰ Θουκυδίδῃ.

ν 495 Νόσος· ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς νόσοις ἑαυτῶν αἰσθανόμεθα, οὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων ἢ τῶν σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν αἵματός τε καὶ πνεύματος. ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξίν ἐστι καὶ νεύροις, εἰκότως τῶν

ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακειμένων τε τοῖς αἰσθητικοῖς μορίοις τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν, ὥσπερ καὶ τοῦ ἀέρος τεθερμασμένου ἢ κατεψυγμένου. κἂν αὐτῶν δὲ τῶν στερεῶν ἅψηται ὁ πυρετός, ἐπειδὴ μὴ ὁμαλῶς θερμαίνεται, ἀλλὰ ἀνωμάλως· εἰσὶ γάρ τινα μόρια κατὰ φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν· συμβαίνει τὰ κατὰ φύσιν ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν διακειμένων· ἀδύνατον γὰρ ὁμαλὴν γενέσθαι τὴν δυσκρασίαν. οἱ δὲ ἑκτικῷ κατεσχημένοι πυρετῷ, τοῦτο δέ ἐστιν οἱ τὰ στερεὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας δι' ὅλων τῶν στερεῶν συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας λαμβάνουσι, διὰ τὸ ὁμαλὴν εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν καὶ μὴ εἶναι τὸ μὲν ποιοῦν, τὸ δὲ πάσχον. ἀρρώστημα νοσήματος διαφέρει· καὶ ζήτει ἐν τῷ ἀρρώστημα.

ν 496 Νοσοποιεῖν.

ν 497 Νοσῶ· αἰτιατικῇ.

ν 498 Νοστήσας: ἐπανελθών.

ν 499 Νοστία: κώμη Ἀρκαδίας. Ἔφορος δὲ τὸ ἐθνικὸν Νεστανίους εἰπὼν δοκεῖ Νεστανίαν αὐτὴν εἰδέναι.

ν 500 Νόστος: ἡ οἴκαδε ἐπάνοδος. παρὰ τὸ τῆς πατρίδος ἡδύ. ἢ ἡ ἀνάδοσις τῆς γεύσεως. καὶ οἱ ποιηταὶ δὲ οἱ τοὺς Νόστους ὑμνήσαντες ἕπονται τῷ Ὁμήρῳ ἐς ὅσον εἰσὶ δυνατοί. φαίνεται ὅτι οὐ μόνος εἷς εὑρισκόμενος ἔγραψε νόστον Ἀχαιῶν, ἀλλὰ καί τινες ἕτεροι.

ν 501 Νόστος: παρὰ τῇ συνηθείᾳ ὁ γλυκασμός, ἐπὶ τῶν ἐδεσμάτων. ὡς ἀπὸ τῆς οἴκαδε ἀνακομιδῆς καὶ ἀναστροφῆς· παρὰ τὸ τῆς πατρίδος γλυκύ. οὐδὲν γὰρ γλύκιον ἧς πατρίδος, καθ' Ὅμηρον. ἐκ δὲ τοῦ κατὰ τὴν συνήθειαν νόστου καὶ νόστιμον, τὸ ἡδύ. καὶ Εὔνοστος, θεός τις, φασίν, ἐπιμύλιος. ὁ δὲ ποιητικὸς νόστος παρὰ τὸ νέω γίνεται. οἷον, νῦν δ' ἐπεὶ οὐ νέομαι γε. ἤγουν οὐκ ἐπανέρχομαι. ἔστι δὲ καὶ ῥῆμα νοστῶ, οὗ σύνθετα παλινοστῶ καὶ ἀπονοστῶ.

ν 502 Νόσφι: χωρίς.

ν 503 Νοσφιζόμεθα: χωριζόμεθα.

ν 504 Νοσφιζόμενον: ὑφαιρούμενον, ἰδιοποιούμενον.

ν 505 Νοτάριος: ὁ γραμματεύς. νότα γὰρ τὰ γράμματα. Ῥωμαϊστὶ ὁ ὑπογραφεύς.

ν 506 Νοτία: ἡ θάλασσα, καὶ ἡ ὑγρασία.

ν 507 Νότιον: χωρίον προκείμενον τῆς Κολοφωνίων πόλεως. Νότιον δὲ κλῖμα, τὸ πρὸς νότον κείμενον.

ν 508 Νότιος: ὑγρός. καὶ Νότιος ἱδρώς, ὁ ὑγρός. τὸ μέγα Ἐτυμολογικόν, ἐν ᾧ φέρεται, ὅτι νῶτος ἢ ψοιὰν ἢ ψύα ἢ ψ.. ὀξυτόνως διὰ τῆς οι διφθόγγου, ἢ ψόα διὰ μόνου τοῦ ο κατὰ τὸ ῥοῖα, ῥόα, χροῖα, χρόα, ἐπεί, φησί, εἰς τοῦτο τὸ μέρος ὁ ἱδρὼς καταρρεῖ· βούλεται ν ὅτι οὐ ἱδρῶτα νοεῖν τὸν κατὰ τοῦ νώτου φερόμενον καὶ ἐν τῷ κατὰ δὲ νότιος ῥέεν ἱδρὼς ὃ λέγει ὁ ἐτυμολογῶν καὶ ὅτι ἐκ τῆς νοτίδος ἐκτάσει τοῦ ο εἰς ω καὶ ὁ νῶτος καὶ τὰ νῶτα γίνονται.

ν 509 Νότος: ὁ ἄνεμος. καὶ Νοτόθεν, ἀπὸ Νότου. καὶ Νότον καύσωνα. ἐτυμολογία νότου παρὰ τὸ ὀνῶ, ὀνόσω, τὸ μέμφομαι καὶ βλάπτω· ἢ παρὰ τὴν νοτίδα, ὅ ἐστιν ὑγρασίαν. ἀστειότερον δὲ ἐπέβαλεν ὁ εἰπὼν αὐτὸν Ἀττικὴν εἶναι νόσον, ὡς πρὸς σύγκρισιν τοῦ Βορρᾶ, εὐθέτου ὄντος πρὸς ὑγίειαν.

ν 510 Νοῦβαι: ἔθνος Λιβύης παρὰ Νείλῳ.

ν 511

Νουβυστικόν: νοῦ πεπληρωμένον. γυναῖκα δ’ εἶναι πρᾶγμ’ ἔφη νουβυστικόν. καὶ Νουβυστικῶς, συνετῶς. τετριμμένον. καὶ κάλλιον ὑφ’ ἓν τὸ νουβυστικὸν καὶ τὸ αὐτοῦ ἐπίρρημα· δηλοῖ δὲ νοῦ πλήρωσιν.

ν 512 Νουθετῶ· αἰτιατικῇ· Νουθετοῦμαι δὲ δοτικῇ.

ν 513 Νουκερῖνοι· ἔθνος Ἰταλίας· οὗ μέμνηται καὶ Πολύβιος.

ν 514 Νουκρία: πόλις Τυρρηνίας, ἡ καὶ Νακρία, διὰ τοῦ ἄλφα.

ν 515 Νουμᾶς Πομπίλιος· τοῦτον οἱ Ῥωμαῖοι καὶ μὴ ἐπιδήμιον ὄντα προεβάλοντο μετὰ τοὺς μεσοβασιλεῖς καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος ἔδοσαν. καὶ τὰ πολιτικὰ ἔθη οὗτος διῳκήσατο ἐνιαυτόν τε πρῶτος εὕρατο εἰς ιβʹ μῆνας τὴν ἡλιακὴν κατανείμας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην· ἱερά τε καὶ τεμένη ἱδρύσατο καὶ τοὺς λεγομένους Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε Σαλίους τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας· τάς τε Ἑστιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν ἐπιμέλειαν ἔχειν ἐπέτρεψεν· αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίου δὲ τὴν παρθενίαν ἐφύλαττον· κἄν τις αὐτῶν ἠνδρώθη, κατεχώννυτο· καὶ διὰ τοῦτο οὐ μύρῳ οὐκ ἄνθεσιν οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ. ζήτει ἐν τῷ χλαμὺς περὶ Νουμᾶ. περὶ νουμμίων ζήτει ἐν τῷ ἀσσάρια. ὅτι Ἀντωνῖνος ὁ βασιλεὺς ἄριστος ἦν καὶ μάλιστα Νουμᾷ κατὰ τὸ τῆς ἡγεμονίας ὁμοιότροπον ἄξιος παραβάλλεσθαι.

ν 516 Νουμηνία: ἡ τοῦ μηνὸς ἀρχή. ἐν ταῖς νουμηνίαις δὲ οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο παρὰ Ἀθηναίοις. καὶ Ἀριστοφάνης· τῇ προτέρᾳ νουμηνίᾳ. ἀλείφεσθαί ς’ ἀπ’ αὐτῶν κἀμὲ ταῖς νουμηνίαις. διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

ν 517 Νουμήνιος, Ἀπαμεὺς, ἀπὸ Συρίας φιλόσοφος Πυθαγόρειος. οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν, ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. καὶ διὰ τοῦτό φησι· τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς Ἀττικίζων;

ν 518 Νουμήνιος, ῥήτωρ. Περὶ τῶν τῆς λέξεως σχημάτων, Ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, Χρειῶν συναγωγήν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

ν 519 Νουμής: ὄνομα κύριον.

ν 520 Νοῦν· Ἀριστοτέλης τὸν νοῦν ἀθάνατον λέγει.

ν 521 Νοῦν ἔχειν· Πολύβιος· νοῦν ἔχειν καὶ τόλμαν δεῖ τοὺς στρατηγούς, ἅπερ ἐστὶ κυριώτατα πρὸς τὰς ἐπισφαλεῖς καὶ παραβόλους πράξεις.

ν 522 Νουνεχῶς: πεφροντισμένως. νουνεχῶς ἐδόκουν πολιτεύεσθαι πρὸς τοὺς τότε καιρούς.

ν 523 Νοῦν τὸν ξένον: ἐπὶ τῶν ὑφορωμένων τινά. ὅτι Ἀναξαγόρας ὁ σοφιστὴς Νοῦς ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν πάντων φρουρεῖν εἶπεν.

ν 524 Νοῦς· ὅτι ὁ νοῦς πάντων ἔχει τοὺς λόγους ἐν ἑαυτῷ, ἀλλὰ τῶν μὲν πρὸ αὐτοῦ εἰκονικῶς, τῶν δὲ μετ’ αὐτὸν παραδειγματικῶς. λύσις ὀνείρου· ἀρθεὶς νόον γίνωσκε γῆν ναίειν ξένην. ὅτι Πυθαγόρας τὴν τοῦ ἀνθρώπου ψυχὴν διῃρῆσθαι ἔφη εἰς γʹ· νοῦν, φρένας καὶ θυμόν. νοῦν μὲν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρι ἐγκεφάλου. καὶ τὸ μὲν ἐν καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν, φρένας δὲ καὶ νοῦν τὰ ἐν τῷ ἐγκεφάλῳ. ὅτι τῶν διανοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ’ ὁμοιότητα, τὰ δὲ κατὰ ἀναλογίαν, τὰ δὲ κατὰ μετάθεσιν, τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ’ ἐναντίωσιν. καὶ κατὰ περίπτωσιν μὲν τὰ αἰσθητά, καθ’ ὁμοιότητα δὲ τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατ’ ἀναλογίαν δὲ αὐξητικῶς μὲν ὁ Τιτυὸς καὶ ὁ Κύκλωψ, μειωτικῶς δὲ ὡς ὁ πυγμαῖος· καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ’ ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν· κατὰ μετάθεσιν δὲ οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους,

κατὰ σύνθεσιν δὲ ἱπποκένταυρος, καὶ κατ’ ἐναντίωσιν θάνατος. νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. φυσικῶς δὲ νοεῖται καὶ ὄν τι καὶ ἀγαθόν, καὶ κατὰ στέρησιν, οἷον ἄχειρος. ὅτι τοῦ νοῦ ἔργον ἐστὶν ἁπλαῖς προσβολαῖς καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν ἐπιβάλλειν τοῖς πράγμασιν. ὥσπερ ἡ αἴσθησις προσβαλοῦσα τυχὸν τῷ λευκῷ ἢ τῷδε τῷ σχήματι κρεῖττον ἢ κατὰ ἀπόδειξιν αὐτοῦ τὴν γνῶσιν ἔσχεν· οὐ γὰρ δεῖται πρὸς ταύτην συλλογισμοῦ. ἡ δέ γε τοῦ νοῦ ἐνέργεια ἐκείνοις παραγίνεται, οἷς εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης γέγονεν ἀφικέσθαι καὶ διὰ τῶν καθαρτικῶν ἀρετῶν ἀφαντάστως καὶ δίχα αἰσθήσεως ἐνεργεῖν συνειθισμένοις. ἔστι γὰρ ὁ νοῦς οἷον ἕξις τῆς ψυχῆς τελειοτάτη. καὶ γίνεται τοίνυν ὁ μὲν νοῦς περὶ τὰ νοητά, ἡ δὲ διάνοια περὶ τὰ διανοητά, ἡ δὲ δόξα περὶ τὰ δοξαστά. τούτων δὲ τῶν δυνάμεων πρώτην μὲν ἔχει τάξιν ὁ νοῦς, μέσην δὲ ἡ διάνοια, ἐσχάτην δὲ ἡ δόξα. ἡ δὲ διάνοια προσῳκείωται τῇ ἡμετέρᾳ ψυχῇ, ἐπειδὴ καὶ αὐτὴ τὴν μέσην ἐν τῷ παντὶ τάξιν ἔχει, καὶ διὰ τῆς διανοίας ἀνάγεται ἡ ἡμετέρα ψυχὴ ἐπὶ τὴν τῶν νοητῶν θεωρίαν, ἥτις ἐστὶ τελειότης τῆς ψυχῆς. ἐπειδὴ γὰρ σύντροφος καὶ σύμφυλός ἐστι τοῖς αἰσθητοῖς ἡ ψυχὴ ἡ ἡμετέρα, ἀδυνατεῖ διὰ τὸν συνεθισμὸν τῶν αἰσθήσεων ἐπὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ ἀΰλων ἄγειν ἑαυτήν, ἀλλὰ νομίζει κἀκεῖνα σώματα εἶναι καὶ μεγέθη ἔχειν· καὶ ὅσα ἐπὶ τῶν αἰσθητῶν, κἀκείνων φαντάζεται. καὶ Πλάτων ἐν Φαίδωνι· τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν, ὅτι ὅταν σχολὴν ἀπὸ τῶν περιολκῶν τοῦ σώματος μικρὸν ἄγωμεν καὶ θελήσωμεν τῇ θεωρίᾳ τῶν θείων σχολάσαι, παρεμπίπτουσα ἡ φαντασία θόρυβον ἡμῖν κινεῖ, ὑπονοεῖν διδοῦσα, ὅτι σῶμά ἐστι τὸ θεῖον καὶ μέγεθος ἔχει καὶ σχῆμα, καὶ οὐκ ἐᾷ ἡμᾶς ἀσωμάτως καὶ ἀσχηματίστως περὶ θεοῦ ἐννοεῖν. διὰ τοῦτο δεῖ τὴν ψυχὴν ὁδεύουσαν ἐπὶ τὴν ἑαυτῆς τελειότητα πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν, ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων· οἷά ἐστι τὰ διανοητὰ ἥ τε ψυχὴ ἡ ἡμετέρα καὶ ἡ περὶ αὐτῆς θεωρία· ἔτι δὲ καὶ τὰ μαθηματικά.

ν 525 Νοῦς οὐκ ἔνι Κενταύροισι: παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνοήτων ταττομένη. καὶ ἄλλως· νοῦς οὐκ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτε μ’ οὐ φρονεῖν νομίζετ’, ἐγὼ δ’ ἑκὼν ταῦτ’ ἠλιθιάζω.

ν 526 Νώ: ἀντὶ τοῦ αὐτός. Ἀριστοφάνης Πλούτῳ· βλέψαι ποιῆσαι νώ. ἀντὶ τοῦ αὐτός. ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι. περὶ τούτου καὶ τοῦ σφῶε ζήτει ἐν τῷ μεγάλῳ Ἐτυμολογικῷ.

ν 527 Νῶ: ῥῆμα. οὗ αἱ κινήσεις χρησταί. νῶ, τὸ σωρεύω· ἐξ οὗ νῆσαι, τὸ σωρεῦσαι. καὶ νηδύς, εἰς ἣν αἱ τροφαὶ σωρεύονται. νῶ, τὸ κολυμβῶ· ἐξ οὗ καὶ ναῦς καὶ νῆσσα καὶ νῆσος, ἡ πᾶν μέρος αὐτῆς ἐν ὑγρῷ ἔχουσα. νῶ, τὸ ῥέω, οὗ ὁ μέλλων νάσω· ὅθεν καὶ ναρόν φασι, τὸ ὑγρόν, καὶ Νηρεύς. καὶ τέταρτον νῶ, τὸ κλώθω· οὗ παράγωγον τὸ νήθω, καὶ τὸ νῆμα.

ν 528 Νωγαλέον. καὶ χρῆσις αὐτοῦ ἐν τοῖς τοῦ Ἀθηναίου. παρ’ ᾧ καὶ νωγαλεύειν ῥῆμα, ἐξ οὗ τὸ νωγάλευμα. δοκεῖ δὲ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὰ νώγαλα, σκεύασμά τι δηλοῦν χρηστὸν εἰς ἑστίασιν.

ν 529 Νωδός: ὁ μὴ ἔχων ὀδόντας.

ν 530 Νώδυνον: ἀνώδυνον.

ν 531 Νῶε: ὄνομα κύριον. παρὰ τὸ νῶ, τὸ κολυμβῶ.

ν 532 Νοθεία: ἡ κλεψιγαμία.

ν 533 Νωθέστερος: βραδύτερος.

ν 534 Νωθείας: βραδυτῆτος.

ν 535 Νωθής: βραδύς, ἀκίνητος, ἄλογος. ἐστερημένος τοῦ θέειν.

ν 536 Νωθρεία. καὶ Νωθρός, ὁ ἀσθενής. νωθρότερος ὑπάρχων τοῦ τῆς βασιλείας προσχήματος τῇ φύσει.

ν 537 Νωθρότης: ἡ βραδυτής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν 538 Νῶϊ, νωΐτερος.

ν 539 Νῶιν: ἡμῖν. Ἀριστοφάνης· μείζω μὲν οὐδέν, προσφορωτέραν δέ. ἔφασκε νῶιν φράσειν τὸν Τηρέα. κράτιστον οὖν νῶιν ἀποθανεῖν ἀνδρικώτατα. βέλτιον ἡμῖν αἷμα ταύρειον πιεῖν· ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος. περὶ Θεμιστοκλέους οὖν Σοφοκλῆς φησιν· ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν.

ν 540 Νῶϊν: τουτέστιν ἡμῖν. δεικτικῶς.

ν 541 Νωΐτερον: ἡμέτερον.

ν 542 Νῶκαρ: ὁ δυσκίνητος. παρὰ τὸ νῶ στερητικὸν καὶ τὸ σκαίρω, οἱονεὶ νῶσκαρ, ὁ μὴ σκαίρειν ἰσχύων· ἢ καὶ ἄλλως ὁ δῆθεν ..... ἄψυχος καὶ μὴ ἔχων κῆρ, καθὰ καὶ νεκρὸς ὁ ἐστερημένος κῆρος, ὅπερ ἐστὶν ψυχῆς.

ν 543 Νῶλα: πόλις Αὐσόνων παρὰ Ἑκαταίῳ· Πολύβιος δὲ Νώλην αὐτήν φησιν. οἱ πολῖται Νώλιοι καὶ Νωλανοί.

ν 544 Νῶμα: ὄνομα χώρας.

ν 545 Νωμεντός: πόλις οὐ πόρρω Ῥώμης. οἱ πολῖται Νωμεντῖνοι.

ν 546 Νωλεμέως: ἀδιαλείπτως.

ν 547 Νωμῆσαι: κινῆσαι καὶ μερίσαι.

ν 548 Νώμησις: ἡ κίνησις.

ν 549 Νωμίστωρ: ὄνομα κύριον.

ν 550 Νωμῶν: κρίνων, ἐξετάζων. ὦ πάντα νωμῶν Τειρεσία. Σοφοκλῆς· ἄρρητά τ' οὐράνιά τε καὶ χθονοστιβῆ.

ν 551 Νωνακρίνη: λέγεται ἡ Καλλιστώ.

ν 552 Νωνακρίς: πόλις Ἀρκαδίας ἡ περὶ Ἦλιν. ὁ πολίτης Νωνακρίτης καὶ Νωνακριάτης καὶ Νωνακριεύς.

ν 553 Νωνᾶς: ὄνομα κύριον.

ν 554 Νώνυμος: ἀνώνυμος, ἄδοξος. ἐν Ἰλιάδι ἐστὶν καὶ νώνυμνος πλεονασμῷ τοῦ νυ, ἢ καὶ ἄλλως κατὰ στέρησιν ε ψιλῆς, ἵν' ᾖ ὁ μὴ ὑμνούμενος. οὐδέ τις ἔσται τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

ν 555 Νώνυμνα: πόλις Σικελίας παρὰ Φιλίστῳ.

ν 556 Νῷ πείθου: παροιμία ὁμοία τῷ, θεῷ πείθου ἢ ἕπου.

ν 557 Νώρα: ὄνομα χώρας.

ν 558 Νώρβα: ὄνομα χώρας.

ν 559 Νωρβανός: ὄνομα κύριον.

ν 560 Νωρικία: ὄνομα χώρας. καὶ Νωρικοί, ἔθνος. ζήτει ἐν τῷ Βηρούνιον. καὶ Νωρίκιον ἄστυ.

ν 561 Νῶροψ: ὁ λαμπρός. οἱ μὲν ἐτυμολόγοι παρὰ τὴν στέρησιν τοῦ ὁρᾶν· ἀμαυροῖ γάρ, φασί, τὴν ὄψιν τὰ πάνυ λαμπρὰ καὶ διαχεῖ, ὥστε νῶροψ χαλκός, ὁ μὴ ἐῶν ὁρᾶν εἰς αὐτόν. Ἐπαφρόδιτος δὲ εἰδὼς Νώρακον πόλιν Παννονίας, ἧς ὁ πολίτης Νωράκιος, γίνεσθαι ἱστορεῖ ἐν Παννονίᾳ σίδηρον, ὃς ἀκονηθεὶς λαμπρότατός ἐστιν. ὅθεν καὶ νώροπά φησιν εἰρῆσθαι χαλκόν, ὡς εἴ τις εἴποι Νωράκιον.

ν 562 Νωσάμενος: νοήσας, γνούς. παρὰ Καλλιμάχῳ.

ν 563 Νῶσαι: εἰς νοῦν λαβεῖν.

ν 564

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νῶτα θαλάσσης: ἡ ἐπιφάνεια τῆς θαλάσσης.

ν 565 Νωτάρης: ὁ ἐπὶ νώτου αἴρων καὶ βαστάζων.

ν 566 Νωταία θρίξ: ἡ τῶν μεταφρένων.

ν 567 Νωτίζω: τὰ νῶτα μεταστρέφω. καὶ Νωτίσαι, ἀπελάσαι. ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς.

ν 568 Νωτοπλῆγα: μαστιγίαν τὸν εἰς τὰ νῶτα τὰς πληγὰς λαμβάνοντα. Φερεκράτης Κραπατάλοις· καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

ν 569 Νῶτος: ἡ ψοία τοῦ ἀνθρώπου. τὸ δὴ λεγόμενον, τὸ πλῆθος τῶν Ἀβάρων εἰς τὰ νῶτα περισύρεσθαι.

ν 570 Νωτοφόρος: ὁ ἐπὶ νώτου βαστάζων.

ν 571 Νωχελῆ: βραδέα.

ν 572 Νωχελής: βραδύς, ὁμαλός, ἄχρηστος.

ν 573 Νωχελία: ἀργία.

ν 574 Νοιδίων: διανοημάτων. παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ τὸ νοίδιον ὑποκοριστικόν. τινὲς δὲ οὕτως, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης. Ἀριστοφάνης· ἐγὼ δὲ πάντα καταπάσω βουλευματίων, γνωμιδίων, νοιδίων. κάλλιον καθ’ ὑποκορισμὸν νοϊδίων εἰπεῖν, εἶτα συνηρημένως νοιδίων· οὕτω καὶ ἐκ τοῦ πρόχοος γίνεται προχοίδιον καὶ ἐκ τοῦ βοῦς, βοὸς βοίδιον.

ν 575 Νύκτα τὰς συμφορὰς πολλάκις ἡ Γραφὴ καλεῖ, ἐπειδὴ οἱ ἐν συμφοραῖς περιπίπτοντες ἐν σκότει διάγειν νομίζουσι.

ν 576 Νύκτα δασείην: τὴν χειμερινήν φασι.

ν 577 Νυκταλός: ὁ νύκτα φιλῶν. περὶ Διογένους τοῦ Κυνός φησιν· οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός.

ν 578 Νυκτερίδος αἶνος: αἰνιγματωδῶς δηλοῖ περὶ νυκτερίδος. ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα.

ν 579 Νυκτερινοὶ κύνες: οἱ λύκοι. ὅτι ἡ νυκτερὶς μόνη τῶν πτητικῶν ζῴων καὶ γάλα ἔχει ἐν μαστοῖς καὶ θηλάζει εὐθέως τὸ γεννώμενον. ὅτι καὶ ὁ Χαιρεφῶν Νυκτερὶς ἐκαλεῖτο. καὶ ζήτει ἐν τῷ διοίσειν.

ν 580 Νυκτερίωνος.

ν 581 Νυκτίβιος: ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων.

ν 582 Νυκτὶ θοῇ ἀτάλαντος: Ὅμηρος τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. καὶ ἀλλαχοῦ· ὁ δ’ ἤϊε νυκτὶ ἐοικώς.

ν 583 Νυκτικόραξ: εἶδος ὀρνέου ἐρημικοῦ, ὃ τὰς οἰκουμένας φεύγων τῶν οἰκιῶν ταῖς ἐρήμοις καὶ καταλελυμέναις προστρέχει· τὰ γὰρ οἰκόπεδα ἐρείπιά φασιν. οὕτω καὶ τὸ στρουθίον δειλὸν ὄρνεον ὃν ὑπὸ ἀγωνίας ἐλαύνει τὸν ὕπνον.

ν 584 Νυκτιλόχοι: λῃσταί. καὶ Νυκτοπεριπλάνητος παρὰ Ἀριστοφάνει.

ν 585 Νύκτωρ: διὰ τῆς νυκτός.

ν 586 Νύμφα: νύμφη. Ἰωνικῶς. ὡς τόλμη, τόλμα.

ν 587 Νυμφαγωγῷ· δοτικῇ.

ν 588 Νύμφαι: σκώληκες οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται. οἱ δ’ ἁπλῶς τοὺς πτερωτοὺς σκώληκας, Σάμιοι. καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ μεμυκυῖαι νύμφαι. καὶ αἱ νεόγαμοι κόραι νύμφαι. καὶ αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι. ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτω, δῆλον. περὶ δὲ τῶν θεῶν Διονυσίῳ πᾶσα ἱστορία συνῆκται ἐν τριάκοντα καὶ τρισὶ βιβλίοις.

ν 589 Νυμφαῖον: νυμφῶν ἱερόν.

ν 590 Νύμφαιον· ἐν τῷ Πόντῳ ἐστὶ τὸ Νύμφαιον. καὶ φησὶ Κρατερὸς ἐν θ′ τῶν ψηφισμάτων, ὅτι Ἀθηναίοις ἐτέλει τάλαντον.

ν 591 Νύμφαι πίδακα· ἐν Ἐπιγράμμασι· παναγέλην νυμφαιπίδακα, Βάκχε γάνος. ζήτει ἐν τῷ γάνος.

ν 592 Νυμφεύτρια: ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ. καὶ ἡ νεόγαμος δὲ καὶ ἡ γαμετή· καὶ πρεσβυτέρα, Πηνελόπη καὶ ἡ Ἑλένη. παρὰ Ἀθηναίοις καὶ ἡ τοῦ Διὸς μήτηρ καὶ ἡ θεὰ ἡ ἐπὶ τῶν ὑδάτων.

ν 593 Νυμφεῖος οἶκος: ἐν ᾧ αἱ νύμφαι εἰσί. Νύμφιος δὲ κόσμος, κτητικῶς, ὡς Τύριος, Φρύγιος, Λύδιος. ἠματίᾳ ᾧ νύμφιος ἀνήπτετο λαμπάδι παστάς, τούτῳ πυρκαϊῆς οὐ ναλάμων ἔτυχες.

ν 594 Νύμφη: πηγή. καὶ ἡ νεόγαμος γυνή. Αἰλιανός· μῆνις δὲ ἐδόκει καὶ Νυμφῶν δι’ ἀπορίαν ναμάτων. Νύμφην δὲ καλοῦσι καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων. ὡς προεγράφη.

ν 595 Νυμφικὰ λουτρά: τὰ εἰς γάμους ἐκ τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα.

ν 596 Νυμφίος: ὄνομα ποταμοῦ. Πισίδης· καὶ τὸν μέγιστον ἐκπεράσας Νυμφίον, ὅστις Τίγριδος ταῖς ῥοαῖς ἐπιρρέων ἀποστερεῖται τοῦ καλεῖσθαι Νυμφίος.

ν 597 Νυμφίου βίον: παροιμία. ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου βίον. οἱ γὰρ γαμοῦντες ἐστέφοντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.

ν 598 Νύμφις, Νύμφιδος, Ξεναγόρου, Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. Περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ′, Περὶ Ἡρακλείας βιβλία ιγ′· ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ μετὰ τοὺς ἐπιγόνους καὶ μέχρι τοῦ τρίτου Πτολεμαίου.

ν 599 Νυμφοστολῆσαι: νύμφην κοσμῆσαι.

ν 600 Νυμφοστόλος: νυμφαγωγός.

ν 601 Νυμφῶνος: τοῦ κοιτῶνος.

ν 602 Νῦν: χρονικὸν ἐπίρρημα. νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ, καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους, ὅτοισι τόνδ’ ὑπερβαλῇ· ποικίλος γὰρ ἁνὴρ κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων. Κάλων, σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει, δεῖ τὰ ἄρμενα πάντα κινεῖν ὑπὲρ τοῦ γενέσθαι αὐτοῦ.

ν 603 Νῦν δή: ἀρτίως, ἢ μικρὸν ἔμπροσθεν. Πλάτων Νόμοις· ἢ νῦν δὴ ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις οὔπω ταῦτ’ ἐτίθεμεν· νῦν δὲ ἐπιλελήσμεθα; καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ· νῦν δὴ μὲν ὄρος βᾶς’ ἐπὶ θήρας πόθον ἐστέλλου, νῦν δὲ ψαμάθοισιν ἀκυμάντοις. καὶ ἐν Μελεάγρῳ· ὁρᾷς σὺ νῦν δή με ὡς ἐπράϋνας τύχην. Μάγνης δὲ ἐν Πυτακίδῃ· εἰπέ μοι· νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φής· ἐν δὲ τοῖς Νόμοις διαλελυμένον εἴρηκε τὸ μὲν νῦν ἐπὶ τοῦ παρόντος χρόνου, τὸ δὲ δὴ ἐπὶ συνδέσμου. ὃς δὴ πάντων τῶν πολέμων χαλεπώτατος, ὡς φαμὲν ἡμεῖς νῦν δή.

ν 604 Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα: ἐπὶ τῶν παρ’ ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ Κιτιεὺς καταλιπὼν τοὺς πρὶν διδασκάλους καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσὼν καὶ εἰπών· εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ, οὕτω τραπῆναι πρὸς φιλοσοφίαν.

ν 605 Νῦν εἰς χώραν ἦλθον: ἐπὶ τῶν πρῶτον μὲν οὐκ ἀνεχομένων ἐλθεῖν, ὅποι δεῖ, ὕστερον δὲ αὐτομάτως παραγενομένων.

ν 606 Νῦν ἦλθον εἰς χορόν, νῦν τ’ ἔπαρδες.

ν 607 Νυνμενί: ἀντὶ τοῦ νυνὶ μέν. πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριστοφάνης. νυνὶ δὲ ὡς τύπῳ πρός σε γράφω, ἀντὶ τοῦ ὁλοσχερῶς.

ν 608 Νῦν πᾶς ὁ κίνδυνος ἐνθάδ’ ἀνεῖται σοφίας, ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐστὶν ἀγὼν μέγιστος.

ν 609 Νῦν ὀσπρίων ἄμητος: ἐπὶ τῶν καθ’ ὥραν ἕκαστα πράττειν ὀφειλόντων.

ν 610 Νῦν σωθείην, ἵν’ ᾖ μοι δίδαγμα τοῦτο τοῦ λοιποῦ χρόνου: παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ καὶ πεσούσης.

ν 611 Νῦν τοῦτ’ ἐκεῖν’ ἥκει τὸ Δάτιδος μέλος: ἐπὶ τῶν χαρμοσυνῶν. ὁ γὰρ Δᾶτις σατράπης Περσῶν, ὃς εὐδοκιμήσας κατὰ τὸν πόλεμον, ἑλληνίζειν βουλόμενος εἶπεν, ἥδομαι καὶ εὐφραίνομαι καὶ χαίρομαι· καὶ ἐβαρβάρισε.

ν 612 Νύξ: εὐφρόνη, καὶ ἡ σκοτία. νύξ ἐστι σκιὰ γῆς, ἀλλ’ οὐχ ἡ τυχοῦσα, ἀλλ’ ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν τῷ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ’ οἷς ἐστιν ἡ νύξ, ἡμισφαιρίῳ. ὥσπερ οὐχ ὁ ὑφ’ ὁποιασοῦν ἡδονῆς κρατούμενος ἀκρατής, ἀλλ’ ὁ ὑπό τινος.

ν 613 Νὺξ ὑγρά: χαλεπή, φησί.

ν 614 Νύξαι· ὅτι βαλεῖν τὸ πέμψαι πόρρωθεν, οὐτάσαι δὲ καὶ νύξαι καὶ τύψαι τὸ ἐκ χειρὸς τρῶσαι.

ν 615 Νυρίζει: ξύει, νύσσει.

ν 616 Νύρων: νύττων.

ν 617 Νύσσα: καμπτήρ, τέρμα, βαθμίς.

ν 618 Νυσήϊον: ὄρος Διονύσου.

ν 619 Νύσια: ὀρχήματος εἶδος· τῶν γὰρ ὀρχήσεων ἡ μὲν Βερεκυντιακὴ λέγεται, ἡ δὲ Κρητική, ἡ δὲ Παρρική. Νύσια οὖν τὰ Βερεκύντια· Νυσιὰς γάρ ἐστιν ἡ Βερεκυντιακή. Κνώσσια δὲ Κρητική· ἐν Μυσίᾳ γὰρ καὶ Κνωσσῷ ἐπιμελὴς ἡ ὄρχησις· Νύσια δὲ τὰ ἐν τῇ Νύσῃ γινόμενα. ἔστι δὲ αὕτη Διονύσου ἱερά. καὶ τὰ Κνώσσια ὡσαύτως. ἄλλως· τῶν ὀρχήσεων αἱ μὲν εἰσὶ Διονυσιακαί, αἱ δὲ Κορυβαντιακαί, αἱ ἐνόπλιοι· Νύσιαι δὲ αἱ Διονυσιακαί, Κνώσσιαι δὲ αἱ Κορυβαντιακαί· Κνωσσὸς γὰρ πόλις Κρήτης. ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων ἐτράφη ὁ Ζεύς.

ν 620 Νύχιος: νυκτερινός.

ν 621 Νύχος: νύξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org